τοῦτο πᾶσα τῶν ὑπερκοσμίων ἡ νοητὴ διακόσμησις ἀΰλως ἑστιωμένη. τεκμήριον ἐναργέστατόν τε καὶ ἀψευδέστατον τίθεται τῆς περὶ ἡμᾶς τοῦ λόγου φιλανθρωπίας. οὐκ ἔστι τῶν ἐν τῇ κτίσει θεωρουμένων ὃ χωρήσει τούτου τὴν ὑπερβολὴν τῆς λαμπρότητος· ὁ γὰρ ὑπερούσιος εἰς οὐσίαν ἀληθῶς ἐλθὼν καὶ ὑπὲρ οὐσίαν οὐσιωθεὶς διὰ σαρκὸς ἡμῖν πεπολίτευται, ὃς δὴ καὶ ὑπερβαλλόντως ἐπὶ τοῦ ὄρους ἐξήστραψεν, οὐ τότε γενόμενος ἑαυτοῦ διαυγέστερος ἢ ὑψηλότερος, ἄπαγε, ἀλλ' ὅπερ καὶ πρότερον τοῖς τελουμένοις τῶν μαθητῶν καὶ μυουμένοις τὰ ὑψηλότερα κατὰ ἀλήθειαν θεωρούμενος. ἔξω γὰρ σαρκὸς καὶ κόσμου γενόμενοι καθόσον ἐφικτόν, ἐνταῦθα τὰς τῆς μελλούσης καταστήσεως ἤδη ἐξ ὧν ἐπειράθησαν ἐδιδάχθησαν. εἰ γὰρ καὶ μηδενὶ τῶν ἁπάντων ἀκοινώνητόν ἐστι καθόλου τὸ ἀγαθόν, ἀλλ' οὐχὶ ὅλον ὅ τί ποτέ ἐστιν, ἀλλ' ὅσον καὶ ὅπως τοῖς μετέχουσιν ἐφικτὸν χωρητὸν γίνεται. καὶ τοῦτο δι' ἄκραν ἀγαθότητα ταῖς ἀπειροδώροις ἐλλάμψεσιν ὁδεῦον ἐπὶ πάντα καὶ προχεόμενον· ἀπόδειξις δὲ τῶν λεγομένων αὐτὸ ἂν εἴη τὸ μακάριον πάθος καὶ πολυύμνητον, ὅπερ ἐπὶ τοῦ ὄρους πεπόνθασιν οἱ ἀπόστολοι, ἡνίκα τὸ ἀπρόσιτον καὶ ἄχρονον φῶς τὴν οἰκείαν σάρκα μεταμορφῶσαν τῷ ὑπερβάλλοντι τῆς οἰκείας φωτοβλυσίας ὑπερουσίως ἐλάμπρυνεν. ὢ τοῦ θαύματος· κατ' ἔκστασιν τελειοτάτην τῆς φύσεως πίπτουσιν ὕπνῳ βαρεῖ καὶ φόβῳ κρατούμενοι, μύσαντες τὰς αἰσθήσεις, πᾶσαν νοερὰν κίνησιν καὶ ἀντίληψιν παντελῶς ἑαυτῶν ἀποσπάσαντες· οὕτω κατὰ τὸν θεῖον ἐκεῖνον καὶ ὑπέρφωτον καὶ ἀόρατον γνόφον τῷ θεῷ συνεγένοντο, τῷ μηδόλως ὁρᾶν τὸ ὄντως ὁρᾶν εἰσδεχόμενοι, καὶ τῷ πάσχειν ἀγνώστως τὴν καθ' ὑπεροχὴν ἀγνωσίαν πορίζόμενοι, καὶ τὴν πάσης νοερᾶς ἐπιστασίας ὑψηλοτέραν ἐγρήγορσιν ὕπνῳ μυσταγωγούμενοι. ἔξω πάντων ἐγένοντο τῶν ὁρωμένων τε καὶ νοουμένων, ἔτι δὲ καὶ ἑαυτῶν, ἵνα τὸ πάσης θέσεώς τε καὶ ἀφαιρέσεως ἐκβεβηκὸς καθ' ὑπεροχὴν ὑπερούσιον τῇ ἐκφαύσει τοῦ λόγου και τῇ ἐπισκιάσει τοῦ πνεύματος καὶ τῇ ἄνωθεν ἐκ τῆς νεφέλης φερομένῃ φωνῇ τοῦ γεννήτορος δι' ἀγνωσίας καὶ ἀβλεψίας παιδευθῶσι μυστήριον.

Περὶ τοῦ θείου τούτου φωτὸς φησὶν ὁ μέγας Γρηγόριος ὁ θεολόγος Φῶς ἡ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους τοῖς μαθηταῖς, μικροῦ στερροτέρα καὶ ὄψεως. καὶ αὖθις Ἥξει μὲν ὡς ὁ ἐμὸς λόγος, τοιοῦτος δὲ οἷος ὤφθη τοῖς μαθηταῖς ἢ παρεδείχθη, ὑπερνικώσης τὸ σαρκίον τῆς θεότητος.

Ὁ δὲ ἅγιος Μάξιμος Τοῦτό ἐστι, φησί, τὸ τοῦ θεοῦ εὐαγγέλιον, πρεσβεία θεοῦ καὶ παράκλησις πρὸς ἀνθρώπους δι' υἱοῦ σαρκωθέντος καὶ τῆς πρὸς τὸν πατέρα καταλλαγῆς μισθὸν δωρουμένου τοῖς πειθομένοις αὐτῷ τὴν ἀγένητον θέωσιν. ἀγένητον δὲ λέγω θέωσιν τὴν κατ' εἶδος ἐνυπόστατον ἔλλαμψιν, ἥτις οὐκ ἔχει γένεσιν ἀλλ' ἀνεπινόητον ἐν τοῖς ἀξίοις φανέρωσιν. καὶ αὖθις Οὐ πᾶσιν ἀεὶ μετὰ δόξης, φησίν, ὁ κύριος ἐπιφαίνεται τοῖς παρ' αὐτῷ ἱσταμένοις, ἀλλὰ τοῖς μὲν εἰσαγομένοις ἐν δούλου μορφῇ παραγίνεται, τοῖς δὲ δυναμένοις ἀκολουθῆσαι αὐτῷ ἐπὶ τὸ ὑψηλὸν ἀναβαίνοντι τῆς αὐτοῦ μεταμορφώσεως ὄρος ἐν μορφῇ θεοῦ ἐπιφαίνεται, ἐν ᾗ ὑπῆρχε πρὸ τοῦ τὸν κόσμον εἶναι. καὶ πάλιν ὁ αὐτός Τὸ φῶς, φησίν, τοῦ προσώπου κυρίου τὸ νικῆσαν τῆς ἀνθρωπίνης αἰσθήσεως τὴν ἐνέργειαν τὸν τρόπον διετύπου τοῖς μακαρίοις ἀποστόλοις τῆς κατὰ ἀπόφασιν μυστικῆς θεολογίας καθ' ἣν ἡ μακαρία καὶ ἁγία θεότης κατ' οὐσίαν ἐστὶν ὑπεράρρητος καὶ ὑπεράγνωστος καὶ πάσης ἀπειρίας ἀπειράκις ἐξῃρημένη, οὐδ' ἴχνος ὅλως καταλήψεως κἂν ψιλὸν τοῖς μετ' αὐτὴν καταλείψασα. ὁ τοῖς οὖσι γάρ φησιν ὁ αὐτὸς μὴ κατ' οὐσίαν ὑπάρχων μεθεκτός, κατ' ἄλλον δὲ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος, τοῦ κατ' οὐσίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται, ὁπότε καὶ αὐτὸς ὁ τρόπος,

καθ' ὃν θέλων μετέχεται, μένει διηνεκῶς τοῖς πᾶσιν ἀνέκφαντος.

Φησὶ δὲ καὶ ὁ μέγας Βασίλειος Τὸ πνεῦμα τὸ ἅγιον ἀπρόσιτον τῇ φύσει, χωρητὸν δι' ἀγαθότητα, πάντα μὲν πληροῦν τῇ δυνάμει, μόνοις δὲ ὂν μεθεκτὸν τοῖς ἀξίοις· οὐχ ἑνὶ μέτρῳ μετεχομένον, ἀλλὰ κατὰ ἀναλογίαν τῆς πίστεως διαιροῦν τὴν ἐνέργειαν· ἁπλοῦν τῇ οὐσίᾳ, ποικίλον ταῖς δυνάμεσιν· ὅλον ἑκάστῳ παρόν, καὶ ὅλον πανταχοῦ ὄν· ἀπαθῶς μεριζόμενον, καὶ ὁλοσχερῶς μετεχόμενον κατὰ τὴν εἰκόνα τῆς ἡλιακῆς ἀκτῖνος, καὶ ἑκάστῳ τῶν δεκτικῶν ὡς μόνῳ παρὸν διαρκῆ τοῖς πᾶσι τὴν χάριν καὶ ὁλόκληρον ἐπαφίησι. καὶ πάλιν Αἱ μὲν ἐνέργειαι τοῦ Θεοῦ ποικίλαι, ἡ δὲ οὐσία ἁπλῆ. ἡμεῖς δὲ ἐκ τῶν ἐνεργειῶν γνωρίζειν λέγομεν τὸν Θεόν, τῇ δὲ οὐσίᾳ αὐτοῦ προσεγγίζειν οὐχ ὑπισχνούμεθα· αἱ μὲν γὰρ ἐνέργειαι αὐτοῦ πρὸς ἡμᾶς καταβαίνουσιν, ἡ δὲ οὐσία μένει ἀπρόσιτος.

Οὕτω γὰρ καὶ ὁ μέγας Ἀθανάσιος λέγει, ὅτι οὐδεὶς ἀνθρώπων δύναται Θεοῦ οὐσίαν γυμνὴν ἰδεῖν οὐδαμοῦ· ὅθεν πρόδηλον ὅτι οὐ τὴν οὐσίαν τοῦ Θεοῦ ἔβλεπον οἱ ἅγιοι ἀλλὰ τὴν δόξαν, ὡς καὶ περὶ τῶν ἀποστόλων γέγραπται ὅτι διαγρηγορήσαντες ὁ Πέτρος καὶ οἱ σὺν αὐτῷ εἶδον τὴν δόξαν αὐτοῦ. καὶ αὖθις ὁ αὐτὸς Ἀπαθής, φησί, καὶ ἐν τοῖς παθήμασι τῆς σαρκὸς ὁ Χριστός, ὡς Θεὸς νικήσας θάνατον καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθὼν εἰς τὸν οὐρανὸν ἐν δόξῃ φυσικῇ καὶ οὐκ ἐν χάριτι ἐρχόμενος ἐν τῇ αὐτοῦ θεότητι, ἐμφανῶς ἐκλάμπων ἐκ τοῦ ἐκ Μαρίας σώματος αὐτοῦ τοῦ ἁγίου τὴν δόξαν τὴν ἀπόρρητον, ὡς καὶ ἐπὶ τοῦ ὄρους ἔδειξεν ἀπὸ μέρους, διδάσκων ἡμᾶς ὅτι καὶ πρότερον καὶ νῦν ὁ αὐτός ἐστιν, ἀναλλοίωτος ὢν ἀεὶ καὶ μεταβολὴν οὐδεμίαν ἔχων περὶ τὴν θεότητα.

Οὕτω καὶ ὁ μέγας Διονύσιος Ὅταν ἄφθαρτοι, φησί, καὶ ἀθάνατοι γενώμεθα, καὶ τῆς χριστοειδοῦς καὶ μακαριωτάτης ἐφικώμεθα λήξεως, πάντοτε σὺν κυρίῳ κατὰ τὸ λόγιον ἐσόμεθα, τῆς μὲν ὁρατῆς αὐτοῦ θεοφανείας ἐν πανάγνοις θεωρίαις ἀποπληρούμενοι φανοτάταις ἡμᾶς μαρμαρυγαῖς περιαυγαζούσης, ὡς τοὺς μαθητὰς ἐν ἐκείνῃ τῇ θειοτάτῃ μεταμορφώσει· τῆς δὲ νοητῆς αὐτοῦ φωτοδοσίας ἐν ἀπαθεῖ καὶ ἀΰλῳ τῷ νῷ μετέχοντες καὶ τῆς ὑπὲρ νοῦν ἑνώσεως ἐν ταῖς τῶν ὑπερφανῶν ἀκτίνων ἀγνώστοις καὶ μακαρίαις ἐπιβολαῖς ἐν θειοτέρᾳ μιμήσει τῶν ὑπερουρανίων νόων.

Καὶ ὁ μέγας Βασίλειος ἆθλον φησὶν ἀρετῆς Θεὸν γενέσθαι καὶ τῷ καθαρωτάτῳ φωτὶ καταστράπτεσθαι, τῆς ἡμέρας ἐκείνης υἱὸν γενόμενον ἣ μὴ διακόπτεται ζόφῳ. ἄλλος γὰρ ταύτην ποιεῖ ἥλιος, ὁ τὸ ἀληθινὸν φῶς ἀπαστράπτων· ὃς ἐπειδὰν ἅπαξ ἐπιφαύσῃ ἡμῖν, οὐκέτι ἐν δυσμαῖς κρύπτεται, ἀλλὰ πάντα τῇ φωτιστικῇ αὐτοῦ δυνάμει περιπτυξάμενος διηνεκὲς καὶ ἀδιάδοχον τοῖς ἀξίοις τὸ φῶς ἐμποιεῖ, καὶ αὐτοὺς τοὺς μετέχοντας τοῦ φωτὸς ἐκείνου ἄλλους ἡλίους ἀπεργαζόμενος. τότε γάρ φησι καὶ οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος.

Καὶ ὁ θεῖος Μάξιμος Ἡ ψυχὴ γίνεται Θεὸς τῇ μεθέξει τῆς θεϊκῆς χάριτος, πασῶν τῶν κατὰ νοῦν τε καὶ αἴσθησιν ἐνεργειῶν αὐτή τε παυσαμένη καὶ τὰς τοῦ σώματος φυσικὰς ἐνεργείας συναποπαύσασα, συνθεωθέντος αὐτῇ κατὰ τὴν ἀναλογοῦσαν αὐτῷ μέθεξιν τῆς θεώσεως, ὥστε μόνον τὸν Θεὸν διά τε τῆς ψυχῆς καὶ τοῦ σώματος τότε φαίνεσθαι, νικηθέντων αὐτῶν τῇ ὑπερβολῇ τῆς δόξης τῶν φυσικῶν γνωρισμάτων.

Καὶ ὁ μέγας Διονύσιος Οὐδεμίαν ὁρῶμεν θέωσιν ἢ ζωὴν ἥτις ἀκριβῶς ἐμφερής ἐστι τῇ πάντων ὑπερκειμένῃ αἰτίᾳ. καὶ ὁ αὐτὸς ἐρωτώμενος πῶς ὁ πάντων ἐπέκεινα καὶ ὑπὲρ θεαρχίαν ἐστὶ καὶ ὑπὲρ ἀγαθαρχίαν, Εἰ θεότητα, φησί, καὶ ἀγαθότητα νοήσαις αὐτὸ τὸ χρῆμα τοῦ ἀγαθοποιοῦ δώρου καὶ τὸ ἀμίμητον μίμημα τοῦ ὑπερθέου καὶ ὑπεραγάθου, καθ' ὃ θεούμεθα καὶ ἀγαθυνόμεθα. καὶ γὰρ εἰ

τοῦτο ἀρχὴ γίνεται τοῦ θεοῦσθαι καὶ ἀγαθύνεσθαι τοῖς θεουμένοις καὶ ἀγαθυνομένοις, ὁ πάσης ἀρχῆς ὑπεράρχιος καὶ τῆς οὕτω λεγομένης θεότητος καὶ ἀγαθότητος ὡς θεαρχίας καὶ ἀγαθαρχίας ἔστιν ἐπέκεινα.

Καὶ ὁ Νύσσης θεῖος Γρηγόριος Εἰ τὰ κρίματα αὐτοῦ, φησίν, ἐξερευνηθῆναι οὐ δύναται, καὶ αἱ ὁδοὶ οὐκ ἐξιχνιάζονται, καὶ ἡ τῶν ἀγαθῶν ἐπαγγελία πάσης ὑπέρκειται τῆς ἀπὸ στοχασμῶν εἰκασίας, πόσῳ μᾶλλον τῷ μέτρῳ κατὰ τὸ ἄφραστόν τε καὶ ἀπροσπέλαστον ἄνω ἐστὶ καὶ ὑψηλότερον αὐτὸ τὸ θεῖον τῶν περὶ αὐτὸ νοουμένων.

Ἀλλὰ καὶ ὁ θεῖος Ἰωάννης ὁ Δαμασκηνὸς πάλιν ἐν τοῖς ἱεροῖς μέλεσιν Ἵνα σου δείξῃς ἐμφανῶς τὴν ἀπόρρητον δευτέραν κατάβασιν, ὅπως ὁ ὕψιστος θεὸς ὀφθήσῃ ἑστὼς ἐν μέσῳ θεῶν τοῖς ἀποστόλοις ἐν Θαβὼρ Μωσεῖ σὺν Ἠλίᾳ τε ἀρρήτως ἔλαμψας. καὶ ἐν ἑτέρῳ μέλει Καὶ μικρὸν ὑποκύψας τῆς σαρκὸς τὸ πρόσλημμα μετεμορφώθη ἔμπροσθεν αὐτῶν, ἐμφαίνων τοῦ ἀρχετύπου κάλλους τὴν εὐπρέπειαν, καὶ ταύτην οὐχ ὁλόκληρον· τὸ μέν, πληροφορῶν αὐτοὺς ἅμα καὶ φειδόμενος μή πως σὺν τῇ ὁράσει καὶ τὸ ζῆν ἀπολέσωσιν, ἀλλ' ὡς ἠδύναντο χωρεῖν τοὺς σωματικοὺς ὀφθαλμοὺς περιφέροντες.

Καὶ ὁ μέγας Διονύσιος αὖθις Ὁ θεῖος, φησί, γνόφος ἐστὶ τὸ ἀπρόσιτον φῶς, ἐν ᾧ κατοικεῖν ὁ θεὸς λέγεται, καὶ ἀοράτῳ ὄντι διὰ τὴν ὑπερέχουσαν φανότητα καὶ ἀπροσίτῳ δι' ὑπερβολὴν ὑπερουσίου φωτοχυσίας. οὐχ ὁ θεὸς δέ φησιν ὁ Χρυσόστομος πατήρ, ἀλλ' ἡ χάρις ἐκχεῖται.

Ἐπεὶ δὲ τὸν προσγενόμενον ἐπὶ τῆς θειοτάτης ἐκείνης θέας τοῖς ἀποστόλοις φόβον ἐκεῖνος αὖθις προεβάλλετο, ὡς ἀτελεῖς καὶ ἐπ' αὐτῆς ἐκείνης δεῖξαι διὰ τούτου τοὺς ἀποστόλους, καὶ τὸ φῶς τοῦτο χαμαίζηλον τὸ τηνικαῦτα τούτοις ὁρώμενον, ὁ θειότατος καὶ ἀοίδιμος βασιλεὺς ὑπὸ τοῦ τοιούτου τότε φωτὸς πάντως καταυγασθεὶς τὴν διάνοιαν, Ἔστι καὶ φόβος, εἶπεν, οὐ τῶν εἰσαγομένων ἀλλὰ τῶν τελείων, περὶ οὗ φησιν ὁ προφήτης Ὁ φόβος κυρίου ἁγνὸς διαμένων εἰς αἰῶνα αἰῶνος. καὶ ἀλλαχοῦ πάλιν Φοβήθητε τὸν κύριον πάντες οἱ ἅγιοι αὐτοῦ. δεῖγμα δὲ τοῦ μὴ τὸν εἰσαγωγικὸν ἀλλὰ τὸν τέλειον ἔχειν τότε φόβον τοὺς ἀποστόλους, τὸ ζητεῖν παραμένειν ἀεὶ τῷ ἀπορρήτῳ ἐκείνῳ θεάματι· Ποιήσωμεν γὰρ ὧδε φησὶ τρεῖς σκηνάς, καί Καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. ὁ γὰρ ἕτερον τρόπον τὸν φόβον ἔχων ἀπ' ἐκείνου προθυμεῖται φεύγειν ὃ καὶ φοβεῖται. Πέτρος δὲ ἡ κορυφαία τῶν ἀποστόλων ἀκρότης, νομίσας τὸν διαστηματικὸν τοῦτον καὶ πεπερασμένον αἰῶνα παραρρυῆναι, τὸν δὲ ἀδιάστατόν τε καὶ ἄληκτον τοῦ φωτὸς ἐκεῖνον ἐπιφανῆναι, Καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, ἀπὸ διαθέσεως τῆς ψυχῆς ἐνθεαστικῶς ἔλεγεν. ἐκεῖνο γὰρ πάντως εἶδεν ὃ οὐκ ἂν πάντως ἀνθρωπίνη φύσις ὁρᾶν δυνηθείη, εἰ μὴ πρὸς τὴν τοῦ ἁγίου πνεύματος χάριν ἀνακραθείη. τοσούτου γὰρ ἐκεῖνοι τότε ἠξιώθησαν, ὅσον ἀνθρωπίνη φύσις χωρήσειεν ἂν συναιρομένου ταύτῃ τοῦ πνεύματος.

Μηδεὶς δὲ ἡμῶν ἀκούων, αὖθις εἶπεν ὁ καὶ τὰ θεῖα σοφὸς βασιλεύς, ἐφόσον εἰκὸς ἐξυμνούντων τὸ θειότατον ἐκεῖνο φῶς, τὴν τοῦ θεοῦ φύσιν θεατὴν λέγειν ἡμᾶς ὑπολαμβανέτω. εἰ γὰρ καὶ πρὸς τοσοῦτον ὕψος θεωρίας ἀνέδραμον, χάριν καὶ δόξαν εἶδον θείαν ἀλλ' οὐ τὴν φύσιν αὐτὴν τὴν χορηγοῦσαν τὴν χάριν. καὶ γὰρ ἴσμεν ἐκείνην ὑπὸ τῶν θείων λογίων μεμυημένοι ἀμέθεκτον ἄληπτον ἀόρατον καὶ αὐταῖς ταῖς ὑπερκοσμίοις καὶ ἀνωτάτω δυνάμεσιν, ὡς οὐδ' ἴχνος ὅλως καταλήψεως κἂν ψιλὸν τοῖς μετ' αὐτὴν καταλείψασαν· ἐπεὶ καὶ Γρηγορίων ὁ θεολογικώτατος, ἔστιν ἃ τῶν προφητικῶν θεαμάτων καταλέξας πρότερον, ἐφεξῆς εὐθὺς ἐπήνεγκεν Ἀλλ' οὔτε οὗτοι περὶ ὧν ὁ λόγος, οὔτε τις ἄλλος τῶν κατὰ τούτους ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ κυρίου, κατὰ τὸ γεγραμμένον Οὐδὲ θεοῦ φύσιν ἢ εἶδεν ἢ ἐξηγόρευ-

σεν. ἐξ ὧν δὴ ῥητῶν καὶ λόγων ἀνιέρως τοῖς ἱεροῖς ἐπιβάλλων ὁ Βαρλαὰμ καὶ ἐπισφαλῶς ἀπηλέγχετό τε καὶ κατῃσχύνετο.

Ἔτι τὲ εὕρηται ὁ τοιοῦτος Βαρλαὰμ πολλὰ καὶ τῶν τῆς ἡσυχίας ἐθίμων ἐγγράφως διαστρέψας καὶ κατηγορήσας, ἅμα δὲ καὶ τῇ συνήθει τούτοις μᾶλλον δὲ πᾶσι τοῖς Χριστιανοῖς προσευχῇ ἐπιθέμενος, τῇ Κύριε Ἰησοῦ Χριστὲ υἱὲ τοῦ θεοῦ ἐλέησόν με. διελάμβανε γὰρ καὶ περὶ ταύτης ἐπ' αὐτῶν τῶν λέξεων οὑτωσί· Ἐγὼ πολλῶν ὄντων ἃ τις ἂν ἔχοι δικαίως ἐγκαλεῖν τῷ τῆς τοιαύτης διδασκαλίας ὑφηγητῇ, οὐδενὸς ἔλαττον ἡγοῦμαι καὶ τοῦτο, ὅτι τὰ Χριστιανῶν ἐπιχειρῶν διὰ τῶν εἰσπνοῶν ἀνατρέπειν μυστήρια, συκοφαντεῖ καὶ τοὺς πατέρας, ὡς ἅπερ νῦν αὐτὸς ἐκδιδάσκει, ταῦτα κἀκείνους φρονήσαντας πρότερον. ἐμβρόντητε καὶ μιαρέ, τίς πώποτε ἐκείνων νῆψιν καὶ φυλακὴν καρδίας καὶ προσοχὴν τοιαύτην τερατείαν οἵαν σὺ παραδίδως ὠνόμασε; φασὶ δὲ τοῦτον νενομοθετηκέναι τοῖς μύσταις εὐχῇ χρῆσθαι διαπαντὸς οὕτως ἐχούσῃ Κύριε Ἰησοῦ Χριστὲ υἱὲ τοῦ θεοῦ ἐλέησόν με. κἀκ τούτου οὖν ἔστι συνιδεῖν ὁποῖος ἦν ὁ τῶν εἰσπνοῶν εὑρετής. τὸ μὲν γὰρ Πάτερ ἡμῶν, ᾧ διαφεροτέρως οἱ Βωγόμιλοι χρῶνται, οὐ νομοθετεῖ· ᾤετο γὰρ οὕτω κατάδηλος ἔσεσθαι. οἷς δ' ὅμως ταύτῃ μόνῃ τῇ μικρᾷ εὐχῇ διὰ βίου προσανέχειν ὑποτίθεται, τούτοις τάς γε ἄλλας ἁπάσας εὐχὰς βαττολογίαν καταλιμπάνει νομίζεσθαι· οἷς δ' αὖθις πάντων Χριστιανῶν ἐν ταύτῃ τῇ εὐχῇ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ θεὸν ἡμῶν καλούντων, οὗτος τὸ Ὁ θεὸς ἡμῶν, εἰς τὸ Υἱὲ τοῦ θεοῦ, μετείληφε· τούτοις τὸ πᾶν τῆς ἑαυτοῦ κακοδοξίας ἡμῖν ἐξεκάλυψε. τῷ γὰρ τῶν Βωγομίλων ἀκολούθως δόγματι μεταβάλλει καὶ οὗτος ἐν τῇ εἰρημένῃ εὐχῇ τὸ Ὁ θεὸς ἡμῶν, εἰς τὸ Υἱὲ θεοῦ· ἐπεὶ ἄλλην γε αἰτίαν δι' ἣν τὴν τοιαύτην πεποίηκε μεταβολήν, οὐκ ἂν εἰπεῖν τις ἔχοι.

Καὶ ταῦτα μὲν ὁ ἀτοπώτατος Βαρλαάμ· τὰ δὲ καὶ αὐτὰ ἀπεναντίως ἔχει πάντως τῇ μακαριστῇ φωνῇ τοῦ θεμελίου τῆς πίστεως Πέτρου τοῦ κορυφαίου τῶν μαθητῶν καὶ τῷ ἐπ' αὐτῇ τοῦ δεσπότου μακαρισμῷ. ὁ μὲν γὰρ εἶπε πρὸς αὐτόν Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· ὁ δὲ κύριος πρὸς αὐτόν Μακάριος εἶ Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. ἀλλὰ καὶ ἐν τῷ συμβόλῳ τῆς πίστεως Πιστεύομεν, λέγομεν, εἰς ἕνα θεὸν πατέρα παντοκράτορα καὶ εἰς τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. ἆρ' οὖν οὐ θεὸν εἶναι τὸν Χριστὸν δοξάζομεν, ἐπεὶ πιστεύειν φαμὲν εἰς τὸν υἱὸν τοῦ θεοῦ;

Φησὶ δὲ περὶ τῆς τοιαύτης ἱερᾶς προσευχῆς καὶ ὁ χρυσορρήμων καὶ θεῖος διδάσκαλος Ἰωάννης μονάζουσιν ἐπιστέλλων Σχολάσατε διαπαντὸς καὶ παραμείνατε κυρίῳ τῷ θεῷ ἡμῶν, ἕως οὗ οἰκτειρήσῃ ἡμᾶς· καὶ μηδὲν ἕτερον ζητήσητε ἢ μόνον ἔλεος παρὰ τοῦ κυρίου τῆς δόξης· ζητοῦντες δὲ ἔλεος, ἐν ταπεινῇ καὶ ἐλεεινῇ καρδίᾳ ζητεῖτε, καὶ βοᾶτε ἀπὸ πρωὶ ἕως ἑσπέρας, εἰ δυνατὸν καὶ ὅλην τὴν νύκτα, τὸ Κύριε Ἰησοῦ Χριστὲ υἱὲ τοῦ θεοῦ ἐλέησον ἡμᾶς. παρακαλῶ οὖν ὑμᾶς, βιάσασθε τὸν νοῦν ὑμῶν εἰς τοῦτο τὸ ἔργον ἕως θανάτου. πολλῆς γὰρ βίας χρῄζει τὸ ἔργον τοῦτο, ὅτι στενή ἐστιν ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ οἱ βιαζόμενοι εἰσέρχονται ἐν αὐτῇ· βιαστῶν γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. παρακαλῶ οὖν ὑμᾶς, μὴ χωρίζετε τὰς καρδίας ὑμῶν ἀπὸ τοῦ θεοῦ, ἀλλὰ προσμένετε καὶ φυλάττετε αὐτὴν μετὰ τῆς μνήμης τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πάντοτε, ἕως οὗ ἐμφυτευθῇ τὸ ὄνομα τοῦ κυρίου ἔσω ἐν τῇ καρδίᾳ· καὶ μηδὲν ἕτερον ἐννοεῖτε ἢ ἵνα μεγαλυνθῇ Χριστὸς ἐν ὑμῖν. παρακαλῶ οὖν ὑμᾶς, τὸν κανόνα ταύτης τῆς προσευχῆς μηδέποτε καταπαύσητε ἢ καταφρο-

νήσητε· ἀλλ' εἴτε ἐσθίετε εἴτε πίνετε εἴτε ὁδεύετε εἴτέ τι[1]) ποιεῖτε, ἀδιαλείπτως κράζετε Κύριε Ἰησοῦ Χριστὲ υἱὲ τοῦ θεοῦ ἐλέησον ἡμᾶς. ἀδιαλείπτως γάρ φησιν ὁ θεῖος ἀπόστολος προσεύχεσθε, χωρὶς ὀργῆς καὶ διαλογισμοῦ.

Ἀλλὰ καὶ ὁ θεῖος Διάδοχος Ἀπαιτεῖ, φησίν, ἡμᾶς πάντως ὁ νοῦς, ὅταν πάσας τὰς διεξόδους αὐτοῦ τῇ μνήμῃ ἀποφράξωμεν τοῦ θεοῦ, ἔργον ὀφεῖλον αὐτοῦ πληροῦν τὴν ἐντρέχειαν. δεῖ οὖν αὐτῷ διδόναι τὸ Κύριε Ἰησοῦ Χριστέ, εἰς ὁλόκληρον πραγματείαν τοῦ σκοποῦ· οὐδεὶς γάρ φησι λέγει κύριον Ἰησοῦν εἰ μὴ ἐν πνεύματι ἁγίῳ. ὅσοι γὰρ τοῦτο τὸ ἅγιον καὶ ἔνδοξον ὄνομα τῷ βάθει μελετῶσιν ἀεὶ τῆς καρδίας ἀπαύστως, αὐτοὶ καὶ τὸ φῶς αὐτῶν τοῦ νοῦ δύνανται ὁρᾶν ποτέ. πάντα γὰρ τὸν ἐπιπολάζοντα ῥύπον τῇ ψυχῇ ἐν αἰσθήσει ἱκανῇ καταφλέγει· καὶ γὰρ ὁ θεὸς ἡμῶν φησὶ πῦρ καταναλίσκον. ὅθεν εἰς ἀγάπην λοιπὸν πολλὴν τὴν ψυχὴν τῆς ἑαυτοῦ δόξης προσκαλεῖται ὁ κύριος· ἐγχρονίζον γὰρ τὸ ἔνδοξον ἐκεῖνο καὶ πολυπόθητον ὄνομα διὰ τῆς μνήμης τοῦ νοῦ τῇ θέρμῃ τῆς καρδίας, ἕξιν ἡμῖν πάντως ἐμποιεῖ τοῦ ἀγαπᾶν τὴν αὐτοῦ ἀγαθότητα. οὗτος γάρ ἐστιν ὁ μαργαρίτης ὁ πολύτιμος, ὅντινα πωλήσας τὶς τὴν περιουσίαν αὐτοῦ εὑρεῖν δύναται καὶ ἔχειν ἀνεκλάλητον ἐπὶ τῇ αὐτοῦ εὑρέσει χαράν. καὶ μακρὸν ἂν εἴη λέγειν τὰς περὶ τούτου καὶ εἰς τοῦτο τῶν θεοφόρων πατέρων εἰσηγήσεις καὶ προτροπάς.

Ἰσχυριζομένων τοίνυν τῶν μοναχῶν τῆς πνευματοκινήτου τῶν θεοφόρων διανοίας ἐπιτερπές τε καὶ θεῖον ἐξ ἀρχῆς εἶναι μελέτημα τὴν εὐχὴν ταύτην, ἅμα δὲ καὶ βουλομένων ἐφεξῆς συνείρειν ὅσα περὶ αὐτῆς ἐν τοῖς τῶν ἁγίων συγγράμμασι κεῖται, οἷόν ἐστι καὶ τὸ εἰρημένον τῷ διὰ λόγων δειμαμένῳ τὴν κλίμακα τῆς πνευματικῆς ἀναβάσεως. μνήμη γάρ φησιν Ἰησοῦ κολληθήτω τῇ πνοῇ σου, καὶ τότε εἴσῃ ἡσυχίας ὠφέλειαν.

Τοιαῦτα προθυμουμένων ἐφεξῆς λέγειν τῶν μοναχῶν, ὁ τὰ πάντα θαυμάσιος βασιλεύς, νῦν δὲ καὶ μακαρίῳ τέλει κατακλείσας τὸν βίον, ὡς χριστὸς κυρίου τὸν ὑπὲρ τοῦ χρίσαντος Χριστοῦ λόγον αὖθις ὑπολαβών, Ἀλλ' ἔστω, φησί, καὶ δεδόσθω τῶν κακοδόξων τοῦτο τινὰ φάναι τὴν ἀρχήν, οὐδὲν παρὰ τοῦθ' ἡμῖν ἔγκλημα, καλῶς χρωμένοις τῷ κακῶς ἐκείνοις νενοημένῳ[2]). οὐδὲ γὰρ ἐπειδὴ θεὸν οὐρανοῦ λέγουσιν οἱ Πέρσαι, τὸν Ἀβραὰμ[3]) κακῶς ἐροῦμεν εἰπεῖν τὸν θεὸν τοῦ οὐρανοῦ ἐγὼ σέβομαι. οὐδ' ἐπειδὴ κοσμοποιὸν νοῦν Ἕλληνες φασὶ τὸν θεόν, ἡμεῖς τοῦτον τοῦ κόσμου ποιητὴν οὐκ ἐροῦμεν ἢ τοῦτο λέγοντες. ἐγκληθείημεν ἂν δικαίως ὡς κατ' ἐκείνους φρονοῦντες. Ἕλληνες μὲν γὰρ τὴν ὕλην ἀγένητον καὶ τῷ θεῷ συναΐδιον λέγοντες, εἰ καὶ ποιητὴν φασὶ τοῦ κόσμου θεόν, ἀλλ' οὐχ ὡς προαγωγέα τοῦ μήπω πρότερον μηδαμῶς ὄντος, ἀλλ' ὡς τοῦ ὄντος κοσμήτορα, τάξιν μόνον καὶ εἶδος καὶ θέσιν ἐναρμόνιον προστιθέντα τοῖς οὖσι, μικροῦ τῆς κατ' ἀνθρώπους τέχνης μηδὲν πλέον τῇ δυνάμει τοῦ θεοῦ νέμοντες· ἡμεῖς δὲ τὴν εἰς τὸ εἶναι πρόοδον ἐκ μὴ ὄντων τὰ πάντα δέξασθαι πιστεύοντες πρὸς θεοῦ, ποιητὴν οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ τούτον ἀκριβῶς γινώσκομεν. οὕτω καὶ θεοῦ υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν λέγοντες, ὑμνοῦμεν καὶ ἐπιβοώμεθα αὐτὸν ὡς θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, καὶ τὴν τοῦ υἱοῦ θεότητα ὁμολογοῦντες καὶ τὸν αἴτιον τῇ τοῦ υἱοῦ θεότητι προσμαρτυροῦντες. φασὶ δὲ καὶ Μασαλιανοὺς καὶ Βογομίλους τὴν ὑπὸ τοῦ κυρίου τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις παραδεδομένην εὔχεσθαι εὐχήν. τί οὖν; ἀποσχώμεθα ταύτης ἡμεῖς διὰ τοῦτο,

[1]) Eiusmodi ad modum codicis expressimus.

[2]) Ita correctum est ex τό — — νενοημένον.

[3]) Super ἀβραάμ notatum est Ἰωνᾶν. Quam in rem cf. Jon. 1, 9. Sed Abrahami verba Gen. 24, 3. tradita respici videntur.

καὶ καταπροδῶμεν τοῖς κεκλοφόσι κακῶς τὰ ἡμέτερα, καὶ διὰ τοὺς ὑποκρινομένους ἐν λόγοις τὸ εὐσεβὲς τῶν ὄντως εὐσεβῶν ἡμεῖς ἀποστῶμεν φωνῶν; ἄπαγε τῆς αἰσχίστης κακοβουλίας. ἀλλ' ἐπειδὴ παράκλητον ἔχομεν πρὸς τὸν πατέρα, Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, μετ' ἐλπίδος ἐπικαλεσόμεθα τὸ ὄνομα αὐτοῦ, καὶ σωτηρίας ἐκ τῆς τοιαύτης ἐπικλήσεως τευξόμεθα, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ προφήτου Καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου σωθήσεται. καὶ ἐπειδήπερ οὐκ ἔστιν ὄνομα ἕτερον τὸ δεδομένον ἐν ἀνθρώποις ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς, καὶ οὐδεὶς δύναται εἰπεῖν κύριον Ἰησοῦν Χριστὸν εἰ μὴ ἐν πνεύματι ἁγίῳ, καὶ ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, μακάριος ὁ διὰ τῆς διηνεκοῦς μελέτης τοῦ πολυυμνήτου τούτου ὀνόματος ἔνοικον ἔχων ἐν ἑαυτῷ τὸν θεόν. εἰς αἰῶνα γάρ φησιν ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς, καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου. πῶς δ' οὐκ ἂν γένοιτο πνεύματος ἁγίου πλήρης ὁ τὸ θεῖον τοῦτο καὶ ὑπερδεδοξασμένον ὄνομα κατέχειν ἐν τῇ καρδίᾳ σπεύδων ἡμέρας καὶ νυκτός, τοῦ κυρίου ἐν εὐαγγελίοις λέγοντος ὅτι δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτὸν ἡμέρας καὶ νυκτός.

Ἀνεφάνη οὖν καὶ ἀπηλέγχθη ἐκ τούτων ὁ Βαρλαὰμ βλασφήμως καὶ κακοδόξως λαλῶν περί τε τοῦ ἐν τῷ Θαβωρίῳ θείου φωτὸς καὶ ὧν κατὰ τῶν μοναχῶν περὶ τῆς μελετωμένης αὐτοῖς καὶ προφερομένης συχνῶς ἱερᾶς εὐχῆς συνεγράφετο. οἱ δὲ μοναχοὶ ἀπεδείχθησαν ἀνώτεροι τῆς κατηγορίας αὐτοῦ ὡς στέργοντες καὶ ἐμμένοντες ταῖς περὶ τούτων τῶν ἁγίων πατέρων ἐξηγήσεσι καὶ παραδόσεσι, καθὼς καὶ αὐτοὶ ἀριδήλως διωμολόγησαν καὶ διεβεβαιώσαντο.

Ἔνθέν τοι καὶ κοινῇ συνοδικῇ ψήφῳ ἅτε κακῶς καὶ ἐπισφαλῶς τοῖς θείοις ἐπιβαλὼν ὁ αὐτὸς Βαρλαὰμ ὡς εἴρηται καταψηφισθείς, συγγνώμην ἐπὶ τούτοις δῆθεν ᾐτήσατο· καὶ γοῦν ἀποφαινόμεθα, ὡς εἰ μὲν ἐνδείξεται ἀληθῶς μετάνοιαν καὶ διορθώσεται ἑαυτόν, καὶ οὐδαμῶς οὐκέτι περὶ τῶν τοιούτων λέγων καὶ συγγραφόμενος φωραθείη, εὖ ἂν ἔχοι· εἰ δ' οὖν, ἀποκήρυκτος ἔσται καὶ ἀποτετμημένος τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ τοῦ ὀρθοδόξου τῶν Χριστιανῶν συστήματος. ἀλλὰ καὶ εἴ τις ἕτερος τὶ τῶν ὑπ' ἐκείνου βλασφήμως καὶ κακοδόξως κατὰ τῶν μοναχῶν, μᾶλλον δὲ τῆς ἐκκλησίας αὐτῆς λαληθέντων ἢ συγγραφέντων φανείη πάλιν τῶν μοναχῶν κατηγορῶν ἢ ὅλως τούτων ἐν τοῖς τοιούτοις καθαπτόμενος, τῇ αὐτῇ καταδίκῃ παρὰ τῆς ἡμῶν μετριότητος καθυποβαλλόμενος, ἀποκήρυκτος ἔσται καὶ αὐτὸς καὶ ἀποτετμημένος τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ τοῦ ὀρθοῦ τῶν Χριστιανῶν συστήματος. μετ' ἐμβριθείας μέντοι καὶ πνευματικῆς αὐστηρίας καὶ ἐπιτιμήσεως λέγομεν μηκέτι ἀπὸ τοῦ νῦν δογματίζειν ὅλως τινὰ τῶν ἁπάντων, κινοῦντα περὶ τούτων τε καὶ ἄλλων δογματικῶν λόγων, οὔτε ἐγγράφως δηλαδὴ οὔτε ἀγράφως, ὡς οὐ μικρῶν ἐντεῦθεν εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ ἀνακυπτόντων σκανδάλων καὶ συγχύσεως καὶ ταραχῆς καὶ σάλου καὶ τρικυμίας ἐπιγενομένης ταῖς ψυχαῖς τῶν ἀκουόντων, καὶ τῶν ἀκεραιοτέρων μάλιστα· δι' ἃ δὴ πάντως καὶ οἱ ἀνωτέρω ἐκτεθειμένοι θεῖοι κανόνες τοῖς θεοφόροις πατράσιν ἐξετέθησαν. χάριν γὰρ τοῦ μηκέτι μηδένα ταῖς ὁμοίαις πλάναις περιπεσεῖν ποιούμενοι πρόνοιαν, καὶ τὸ παρὸν εἰς ἀσφάλειαν ἐκθέμενοι γράμμα, ταῖς οἰκείαις ὑπογραφαῖς ὑπεσημηνάμεθα, κατὰ μῆνα Αὔγουστον τῆς ἐνάτης ἰνδικτιῶνος.

Εἶχε καὶ ὑπογεγραμμένον διὰ τῆς πατριαρχικῆς χειρὸς τὸ Ἰωάννης ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Εἶχε καὶ ἑτέρας ὑπογραφὰς ταύτας· ὁ ταπεινὸς μητροπολίτης Σάρδεων, ἔξαρχος πάσης Λυδίας καὶ ὑπέρτιμος Γρηγόριος· ὁ Δυρραχίου ταπεινὸς Γρηγόριος· ὁ ταπεινὸς μητροπολίτης Λακεδαιμονίας καὶ ὑπέρτιμος Νεῖλος· ὁ μητροπολίτης Μαδύτων ταπεινὸς Ἰσαάκ· ὁ ταπεινὸς μητροπολίτης Μηθύμνης καὶ ὑπέρτιμος Μαλαχίας· ὁ ταπεινὸς μητροπολίτης Βιτζίνης καὶ ὑπέρτιμος Μακάριος.

Εἶχε καὶ ὄπισθεν τὸ Ἐδόθη κατὰ μῆνα Αὔγουστον τῆς ἐνάτης ἰνδικτιῶνος τοῦ ,ϛωμθʹ ἔτους [1]).

Εἶτα εἶχε καὶ ὑπογραφὴν τοῦ Κυζίκου, προγεγραφότος καὶ ταῦτα. Οὐ συνεκλήθην τὴν ἀρχὴν εἰς τὸ ἀκοῦσαι τὴν ὑπόθεσιν πρὸ τῆς συνόδου· ἀλλὰ καὶ ἐν τῇ συνόδῳ κληθέντος μου καὶ προενεγκόντος τινὰ γράμματα εἰς τὸ ἀναγνωσθῆναι, οὐκ ἀνεγνώσθη. μετὰ δὲ τὴν κρίσιν πάλιν οὐκ ἐκλήθην εἰς τὴν συνδιάσκεψιν τοῦ γραφέντος τόμου· διὰ τοῦτο οὐκ ἠθέλησα ὑπογράψαι εἰς τὸν τόμον ἐν τῷ τόπῳ μου. ἐπεὶ δὲ καὶ συνέβη ἐνεγκεῖν μοι τινὰς μέρη τινὰ ἀπὸ τῶν συγγραμμάτων τοῦ τιμιωτάτου ἱερομονάχου κυρίου Γρηγορίου τοῦ Παλαμᾶ, ἦσαν δὲ παρακεχαραγμένα, ὡς ὕστερον ἰδὼν καὶ ἀναγνοὺς τὰ ἐκείνου συγγράμματα ἔμαθον τὴν ἀλήθειαν, καὶ ἔμαθον ὅτι ἐν πᾶσι σύμφωνά εἰσι τοῖς ἁγίοις ἀκριβῶς κατὰ πάντα· ἀλλὰ καὶ τοὺς λόγους αὐτῶν ἀκούσας, καὶ αὐτοὺς συμφώνους εὗρον τοῖς ἁγίοις κατὰ πάντα. διὰ τοῦτο ἰδίᾳ εἰς μαρτυρίαν καὶ ἀσφάλειαν τῆς ἀληθείας τῶν λεγομένων καὶ γεγραμμένων ὑπό τε τοῦ τιμιωτάτου ἱερομονάχου κυρίου Γρηγορίου τοῦ Παλαμᾶ καὶ τῶν λοιπῶν μοναχῶν ὑπέγραψα. διὰ δὲ τῆς αὐτοῦ χειρὸς τὸ ὁ ταπεινὸς μητροπολίτης Κυζίκου ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἑλλησπόντου Ἀθανάσιος.

Εἶχε καὶ κάτωθεν προσηρτημένον τὸ μετά τινας χρόνους γενόμενον γράμμα παρὰ τῶν ἱερωτάτων ἀρχιερέων περὶ τοῦ συνοδικοῦ τούτου τόμου λέγον οὕτως· Στέργομεν καὶ ἀποδεχόμεθα τὴν περὶ τῆς εὐσεβείας κρίσιν καὶ διάγνωσιν καὶ ἀπόφασιν τῆς μεγάλης ἐκείνης συνόδου, καθ᾿ ἣν προεκάθητο καὶ ὁ τρισμακάριστος καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεύς· καὶ τὸν ἐπὶ ταύτῃ γεγονότα τόμον ὡς κατὰ πάντα συνήγορον τῆς εὐσεβείας καὶ τὰς ἐν αὐτῷ διαγνώσεις καὶ ἀποφάσεις στέργομεν ἐν πᾶσι καὶ ἀποδεχόμεθα· τὸν δὲ τηνικαῦτα καταδικασθέντα Βαρλαὰμ καὶ τοὺς κρίσει ἀληθινῇ καὶ ἀδεκάστῳ ἐλεγχθησομένους συνοδικῶς τὰ ἐκείνου φρονοῦντας καὶ ἀμετανοήτως ἔχοντας ἐκ ψυχῆς ἀποβαλλόμεθα καὶ ἀποκηρύττομεν.

Εἶχε τοῦτο τὸ γράμμα καὶ ὑπογραφὰς ταύτας· ὁ ταπεινὸς μητροπολίτης Φιλαδελφείας Μακάριος· ὁ ταπεινὸς μητροπολίτης Παλαιῶν Πάτρων καὶ ὑπέρτιμος Μητροφάνης· ὁ ταπεινὸς μητροπολίτης Μηθύμνης καὶ ὑπέρτιμος Μαλαχίας· ὁ ταπεινὸς μητροπολίτης Ῥωσίου καὶ ὑπέρτιμος Θεόδουλος· ὁ ταπεινὸς μητροπολίτης Βάρνης καὶ ὑπέρτιμος Μεθόδιος· ὁ ταπεινὸς μητροπολίτης καὶ ὑπέρτιμος Σηλυβρίας Ἡσαΐας· ὁ ταπεινὸς μητροπολίτης Διδυμοτείχου καὶ ὑπέρτιμος Θεόληπτος.

Εἶχε καὶ ὄπισθεν τὸ τοιοῦτον γράμμα τὰς ὑπογραφὰς ταύτας· ὁ ταπεινὸς μητροπολίτης Κυζίκου Ἀθανάσιος· ὁ μητροπολίτης Μαδύτων ταπεινὸς Ἰσαάκ· ὁ ταπεινὸς μητροπολίτης Ἀλανίας καὶ Σωτηριουπόλεως καὶ ὑπέρτιμος Λαυρέντιος.

Εἶχε τὸ ἴσον οὕτως Τὸ παρὸν ἴσον ἀντιβληθὲν καὶ κατὰ πάντα ἐξισάζον τῷ πρωτοτύπῳ εὑρεθὲν ὑπεγράφη καὶ παρ᾿ ἐμοῦ δι᾿ ἀσφάλειαν, ὁ ταπεινὸς μητροπολίτης Σμύρνης καὶ ὑπέρτιμος Μακάριος.

Sequitur manu posteriori subscriptum: ὁ ταπεινὸς μητροπολίτης Ἐφέσου Μάρκος· Μάξιμος Δωρόθεος Ἰσάκιος Δαλμάτων [2]).

[1]) Id est anno mundi 6849, sive Christi 1341.

[2]) Recentior subscriptio testatur hoc codicis fragmentum olim ex libris monasterii Sinaitici

B: folia 110 (numerantur 108, sed quattuor ab initio addenda sunt, duo vero 9. et 10. desunt) in 4°, recenti memoria et ut videtur in monte Sinaitico scripta. Pagg. 1a—4a. 1—8. Sunt formulae ad usus liturgicos vel similes compositae, ut *Εἰς πρεσβείαν, καὶ φήμην, ἐπὶ τραπέζης, εἰς τὸν οἰκουμενικὸν πατριάρχην. Μετὰ τὴν φήμην τοῦ ἀρχιεπισκόπου Σιναίου ὄρους. Μετὰ τὴν φήμην τοῦ μητροπολίτου Κρήτης.* Pag. 11 sqq. *Οἱ ἀπὸ Χριστοῦ πατριαρχήσαντες ἐν Ἀλεξανδρείᾳ.* Initium fit a Marco evangelista. Post *κοσμᾶς ὁ καὶ χρηματίσας πρότερον κωνσταντινουπόλεως* posteriori manu addita sunt nomina haec: *κοσμᾶς ἕτερος ὁ ἀπὸ πισσιδίας· ματθαῖος ὁ μετατεθεὶς ἀπὸ τῆς μητροπόλεως λιβύης· κυπριανός· ὁ νῦν γεράσιμος ὁ μετατεθεὶς ἀπὸ τῆς ἐπισκοπῆς μετρῶν.* Rursus recentiori manu additum est *παρθένιος.* Pag. 15—17. legitur *κατάλογος τῶν κατὰ καιροὺς πατριαρχῶν ἀντιοχείας.* Primus est: *Ὁ ἅγιος πέτρος ἀπόστολος, ἀπὸ χριστοῦ λθʹ.* Ultima nomina sunt: *σίλβεστρος* (cui adscribitur annus *αψκδʹ* i. e. 1824). *φιλήμων· δανιὴλ· ἄνθιμος* (haec tria addita sunt alia manu). Pag. 27 sqq. *αἱ τῷ πατριαρχικῷ θρόνῳ ἀλεξανδρείας ὑποκείμεναι μητροπόλεις καὶ ἐπισκοπαί, αἵτινες διεσώζοντο μέχρι τῆς ἁλώσεως αἰγύπτου ὑπὸ τῶν ὀθωμανῶν.* Pag. 30. *ἐπιστολὴ αʹ σιλβέστρου πατριάρχου ἀντιοχείας πρὸς τὸν μητροπολίτην κιτίων κὺρ διονύσιον.* Eiusdem Silvestri sequuntur epp. aliae tres cum aliorum nonnullis. Pag. 43 sqq. *Τῶν θαυμασίων καὶ θείων ἀνδρῶν τὰ ὀνόματα καὶ τὰ ἔτη.* Ab Adamo initium fit; ultimo loco de Constantinopoli per Turcas (*οἱ ἀγαρινοί*) capta refertur. Pag. 51 et seqq. *τὰ ἑπτὰ μυστήρια τῆς ἐκκλησίας. αἱ ἑπτὰ ὑποσχέσεις τῆς πίστεως. τὰ ἑπτὰ θανάσιμα ἁμαρτήματα*, et similia. Pag. 57 sqq. *ἀνακεφαλαίωσις τῶν ἁγιωτάτων πατριαρχῶν, τῶν ὀροθεσίων, καὶ συναρίθμησις τῶν ἀποστολικῶν θρόνων.* Sequuntur similia. Pag. 71—73. legitur *χρυσόβουλον τοῦ ἀοιδίμου βασιλέως Ἰουστινιανοῦ, ὃ ἐδωρήσατο εἰς τὸν τοῦ σινᾶ ὄρους ἡγούμενον.* Vide infra. Pag. 75 sqq. *τὸ καθῆκον καὶ ὅρος τοῦ βασιλέως. ἀπὸ τοῦ νομίμου βιβλίου, βασιλείου, κωνσταντίνου καὶ λέοντος, ἀπὸ τοῦ αʹ τίτλου κεφ. θʹ*, et similia. Pag. 87 sqq. recensentur *τὰ ὀφίκια τοῦ παλατίου;* item pag. 92 sqq. *ὅσοι ἐπεσκόπευσαν ἐν βυζαντίῳ.* Horum primus est Andreas apostolus; extremo loco haec leguntur: *καὶ γέγονεν ὁ ἀδριανουπόλεως γερμανός· αὐτοῦ δὲ ἐκβληθέντος ἀνῆλθεν εἰς τὸν θρόνον ἰωσὴφ ὁ τοῦ γαλησίου ἡγούμενος, ἀνὴρ θαυμαστὸς τὸν βίον καὶ ὁμολογίας στεφάνῳ κεκοσμημένος.*

C: folia 6 in 4° ante aliquot saecula manu Graeca scripta. Fol. 3. incipiunt *τοῦ ἁγίου καὶ ὁσιωτάτου πατρὸς ἡμῶν ἰσαὰκ τοῦ ἀναχωρητοῦ· ὁ πρὸς τὸ τέλος τῆς βίβλου αὐτοῦ λόγος κηʹ· ἤγουν οἱ θρῆνοι αὐτοῦ οἱ ταλανίζοντες τοὺς ἀτάκτους μοναχούς.* Supersunt *θρῆνοι αʹ* usque *ιθʹ* et *κζʹ* usque *μδʹ*.

D: folia 48 in 4° saeculi fere sexti decimi. Sunt varia liturgica quae plerumque interpretationem Arabicam in margine adscriptam habent. Litterarum initialium rubro scriptarum magna pars cum arte facta est.

fuisse: *τὸ παρὸν βιβλίον ἐστὶν τοῦ ἁγίου καὶ θεοβαδίστου ὄρους Σινᾶ, καὶ ὅστις ὑστερήσει ἀπὸ τὴν ἁγίαν μονήν, νὰ ἔχει τὰς ἀρὰς τῶν ἁγίων πατέρων καὶ τῆς ἀκαταφλέκτου βάτου.* Cuiusmodi obtestationes in codicibus antiquis saepissime inveniuntur; cf. exempli caussa subscriptiones codd. Imp. Par. 52 et 376. a Scholzio exscriptas in Biblisch-kritische Reise p. 4 et 8.

E: folia 8 in 4⁰ saeculi fere 17. Inest *κανὼν τριαδικός. ποίημα μητροφάνους· Μίαν σὲ μέλπω τὴν τρισήλιον φύσιν.* In fine deest.

Hoc loco apponere placet decretum illud, quod Iustiniani imperatoris esse dicitur, de coenobio montis Sinaitici supra a nobis ex cod. IX. B. pag. 71 sqq. enotatum. Faciemus id vero ita, ut cum codice nostro conferamus textum quem nuper in Dresd. codice A 187. pag. 76 sq. invenimus.

ΧΡΥΣΟΒΟΥΛΛΟΝ ΤΟΥ ΑΟΙΔΙΜΟΥ ΒΑΣΙΛΕΩΣ ΙΟΥΣΤΙΝΙΑΝΟΥ, Ο ΕΔΩΡΗΣΑΤΟ ΕΙΣ ΤΟΝ ΤΟΥ ΣΙΝΑ ΟΡΟΥΣ ΗΓΟΥΜΕΝΟΝ [1]

Εἰ δὲ καὶ ἀνδράσι τοῖς περιδεξίοις εἰς ὑπηρεσίαν τῶν βασιλέων [2] ἀρχόντων καταστρατηγῆσαι [3] ἢ πόλεων διοικήσεις ἐγχειρισθῆναι ἢ λαοὺς ὁδηγῆσαι ἢ καὶ ἄλλ᾽ ἄττα τοιαῦτα [4] πράττειν δεδομένοις τῷ κράτει τῆς τῶν Ῥωμαίων ἀρχῆς φαινόμενα χρήσιμα τιμὴν ἐπιμετρεῖ τὴν προσήκουσαν τῶν ὑπηκόων [5] ὅσοι εὐγνώμονες, εἰσηγούμενοι δίκαιοι ἂν εἶεν τὰ τῆς ὑποθήκης τούτων βλέπειν τὸ πέρας ἐπιδεχόμενα ἀνδράσι σεμνοῖς καὶ βίῳ καὶ τρόπῳ καὶ θεῷ πλησιάζουσιν [6], οὐχ ὅσα τῶν κατὰ τὰ ἐκτὸς συντεινόντων ἀλλὰ κρείττω καὶ εἰς ψυχὴν αὐτὴν παραπέμποντα τὴν ὠφέλειαν, μᾶλλον δὲ καὶ τοῦτο κἀκεῖνο περιποιούμενα τούτοις ἐκ τῆς ἄνωθεν δεξιᾶς προβαλλομένης τοῖς αὐτοκράτορσι. πῶς οὐκ ἂν εἴη τῶν καθηκόντων ἐπικλινὲς ὠτίον βραβεύειν καὶ εἰς τέλος ἄγειν ἅπερ αἰτήσαιντο. εἰ δὲ καὶ ἄλλως τῇ δεήσει τιμᾶται τὸ εὔλογον, οὐχ ὅπως διὰ τὴν τούτων [7] παράκλησιν, ἀλλ᾽ ἤδη καὶ καθ᾽ αὐτὸ τὸ πρᾶγμα ἀξίως ἔχει [8] γενέσθαι, τηνικαῦτα καὶ μᾶλλον ταῖς αἰτήσεσι τούτων ἐπαινετέον τοὺς ἄνακτας καὶ παρεκτέον [9] ἅπερ ἐθέλειεν, ἵν᾽ εἶεν οὐ μόνον αὐτοῖς ἀλλὰ καὶ τῷ δικαίῳ κατὰ τὸ εἰκὸς χαριζόμενοι. [10] τοῦτο καὶ ἄρτι τῇ βασιλείᾳ μου πάρεστιν ἰδεῖν ἐκτελούμενον, δωρουμένῃ τοῖς ἐν τῷ ὄρει Σινᾶ τιμὴν τὴν ὑπέρτιμον· τοῦτο μὲν δι᾽ ἱκεσίαν ἣν ἐποιήσατο πρὸς ἐμὲ [11] ὁ Πτολεμαΐδος μητροπολίτης ὁ ἱερώτατος καὶ ὑπέρτιμος· οὐ γὰρ ἔκρινα ὅλως ἄξιον μὴ πειθηνίους τούτῳ δοῦναι τὰς ἀκοὰς εὔλογα αἰτουμένῳ καὶ ἃ μὴ τετελεσμένα τῷ δικαίῳ τινὰ ζημίαν ἂν [12] προεξένησαν· τοῦτο δὲ καὶ διὰ τὸ ἄλλως ἡγεῖσθαι τὸ τοιοῦτον ὄρος αἰδέσιμον καὶ τιμῆς ἁπάσης ἐπαπολαύειν δίκαιον ὂν [13], καὶ νομίζειν μᾶλλον τιμᾶσθαι τὴν βασιλείαν μου ἐκ τῆς πρὸς τοῦτο τιμῆς, ἐπεὶ καὶ δοξάζειν οἶδε θεὸς τοὺς τοῦτον δοξάζουσιν. ὄρος γὰρ τοῦτο ὑπερῃρμένον τῶν καθ᾽ ἡμᾶς, ὄρος θεῖον καὶ ἀββακοὺμ [14] δασὺ καὶ κατάσκιον ταῖς τῶν ἁγίων [15] ἐργασίαις καὶ ἀρεταῖς παντοίαις κατάκομον. εἰ δὲ καὶ

[1]) Cod. Dresd. *Ὁρισμὸς τοῦ βασιλέως Ἰουστινιανοῦ, ὃν ἐποίησεν διὰ τὸ θεοβάδιστον ὄρος τὸ Σίναιον.*

[2]) Ita cod. Dresd. a prima manu; cod. Lips. et corrector codicis Dresd. *εἰς ὑπηρετῶν βασιλέων.*

[3]) Cod. Dresd. *καταστρατῆσαι.*

[4]) Cod. Dresd. *ἢ ἄλλα τὰ τοιαῦτα;* postea idem *δεομένοις* pro *δεδομένοις.*

[5]) Cod. Dresd. om. *τῶν ὑπηκόων.*

[6]) Cod. Lips. *πλησιάζουσι.*

[7]) *τούτων* ex cod. Dresd. est; Lips. omittit.

[8]) *ἔχει*: ita Dresd., non habet Lips.

[9]) Ita Lips. habet; Dresd. *παρητέον.*

[10]) Uterque codex *χαριζόμενον.*

[11]) Cod. Dresd. *πρός με.*

[12]) *τινὰ ζημίαν ἄν*: ita emendanda videbatur scriptura codicum. Lips. *τὴν ζημίαν ἦν*, item Dresd. omisso *ἦν*. Post in Dresd. est *προεξένησεν.*

[13]) *ὂν* ex cod. Dresd. est; in Lips. deest.

[14]) Haec vox derivanda videtur ab אַב (*ἀββας*) et מָקוֹם (locus) sive ab huius radice קוּם.

[15]) *ἁγίων* reposuimus pro *ἀρετῶν*, quod in utroque codice scriptum est.

ἁγιάσματος τόπον καλέσαι τις βούλεται καὶ οἶκον τοῦ θεοῦ Ἰακώβ, προσφυὲς μὲν τὸ πρᾶγμα καὶ τῆς ἀληθείας ἄκρως ἐχόμενον κἂν τις θεωροίη τρανώτερον, πλήρης ὁ θεῖος οὗτος οἶκος δόξης πολλῆς, πλὴν ἔσται κἂν τοῖς ἐσχάτοις τούτοις καιροῖς μέρος τι δόξης[1]) *ἀπονενεμημένον τοῦτο παρὰ τῆς βασιλείας μου. οὕτω καὶ ἣν εἶχε πάλαι ἴδοι τις ἂν ἐπὶ τὸ μεῖζον κατὰ τὸν προφήτην προκόπτουσαν.*

Ταῦτα γοῦν τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα βούλεται. τιμᾷ γὰρ ἡ βασιλεία μου τὸν κατὰ καιροὺς ἐν τῷ Σινᾷ προστησόμενον τῶν ὑπερτίμων τῷ ἀξιώματι, καὶ διορίζεται συναριθμεῖσθαι τρίτον[2]) *τοῖς οὕτω τετιμημένοις ἐν ἅπασι καὶ συντιμᾶσθαι ἐν ταῖς προόδοις, καθέδραις, στάσεσι τε καὶ συνελεύσεσι· ἀμφιέννυσθαι δὲ καὶ ἄμφια ὁποῖα καὶ τῶν ἀρχιερέων, ὁπόσοι τὴν τοιαύτην τιμὴν ἐκ τῶν ἔκαθεν χρόνων καὶ νῦν ἀπέλαβον. τἄλλά τε πάντα ὅσα τούτοις, καὶ τούτῳ πρόσεσται, κατὰ μηδὲν ἐλαττούμενα. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ ὁ παρὼν*[3]) *ὁρισμὸς τῆς βασιλείας μου. κατὰ μῆνα Πάνεμον ἑλληνιστὶ ἤγουν Ἰούλιον*[4]) *ἰνδικτίωνος ιδʹ.*[5])

Cod. Tisch. X. membranaceus foliorum 41 form. maximae, saeculi duodecimi, quavis pagina binis columnis scriptus. Sunt tres homiliae Gregorii Nazianzeni integrae cum initio quartae. Prima est fol. 1: *εἰς γρηγόριον τὸν ἀδελφὸν βασιλείου.* Secunda fol. 5: *ἐπιτάφιος εἰς τὸν μέγαν ἀθανάσιον.* Tertia fol. 24: *εἰς τὴν τῶν ἑκατὸν πεντήκοντα ἐπισκόπων παρουσίαν.* Quarta, cuius una pagina cum dimidia superest, inscribitur: *περὶ φιλοπτωχίας καὶ περὶ φιλοπτωχοτροφίας.* Codex est bene et accurate scriptus, passim etiam idoneus ad emendandum textum editum; sed nulla harum homiliarum magna difficultate critica laborat.

Cod. Tisch. XI. membranaceus foliorum decem form. maximae, saeculi fere undecimi. Quaevis pagina versus 37 continuos habet. Est fragmentum menologii. Singulae quae supersunt vitae magnam similitudinem earum habent quae editae sunt in Menologio Graecorum etc. Urbini 1727. Folio 1. versu sexto legitur: *τῇ αὐτῇ ἡμέρα· ἄθλησις τοῦ ἁγίου μάρτυρος προκοπίου τοῦ ἐκ παλαιστίνης* etc. Ibidem *μηνὶ τῶι αὐτῶι κγ. μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν ἀμφιλοχίου ἐπισκόπου ἰκονίου.* Sequitur ibidem *τῆι αὐτῆι*[6]) *ἡμέρα· μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν ἱερομάρτυρος σισιννίου· ἐπισκόπου κυζίκου.* Textus plerumque cum editis convenit, non tamen ubique. Ita fol. 1. verso, ubi est *τῇ αὐτῇ ἡμέρα· ἄθλησις τῶν ἁγίων μαρτύρων ἀρχίππου μαθητοῦ παύλου τοῦ ἀποστ. καὶ φιλήμονος τοῦ στρατιώτου καὶ ἀμφία,* statim ab initio in hoc codice legitur *ἐμαρτύρησαν ἐν κολοσιαῖς* (primum scriptum erat *κολοσσαῖς*) *ἤτοι ἐν χώναις πόλει τῆς φρυγίας,* in editione vero quam diximus Urbinate I. p. 206. desunt verba *ἐν κολ. ἤτοι.* Item editio desinit verbo *τελειοῦται,* codex vero additum habet: *ὁμοίως καὶ ἡ ἁγία ἀμφία.* Fol. 2. legitur *μνήμη*

1) *τι δόξης*: ita scripsimus pro *ἢ δόξης*, quod in codicibus nostris est.

2) Cod. Dresd. *τρίτος.*

3) Cod. Dresd. *τὸ παρόν, ὁρισμός.*

4) *Πάνεμον ἑλλ. ἤγουν*: haec e Dresd. sumpsimus, Lips. non habet. Dresd. antea *κατὰ μῆναν.*

5) In fine cod. Dresd. additum habet: *εἶχε δὲ καὶ σημεῖον* (ita videtur compendium quod adest legendum esse) *διὰ ἐρυθρῶν γραμμάτων τῆς θείας καὶ βασιλικῆς χειρός.*

6) Sic h. l. iota adscripto, quod antea in *τῇ αὐτῇ* nec adscriptum nec magis subscriptum erat. Pariter scriptura in iis quae sequuntur fluctuat.

τοῦ ὁσίου θεοδούλου. cf. Menolog. Urb. II. p. 9. Huius memoriae in editis finis est: καὶ ἐτέθη τὸ λείψανον αὐτοῦ ἐν τῇ κύπρῳ βρύον ἰαμάτων; codex vero pro βρ. ἰαμ. habet: πολλὰς ἰάσεις παρέχον τοῖς πιστοῖς. Fol. 10. habentur: ἄθλησις τῶν ἁγίων τριῶν παίδων· ἀνανία· ἀζαρία· καὶ μισαήλ: porro ἄθλησις τοῦ προφήτου δανιήλ: denique ἄθλησις τοῦ ἁγίου μάρτυρος βάκχου τοῦ νέου.

Cod. Tisch. XII. Constat foliis 17 membranaceis, quattuor codicum reliquiis.

A: folia septem in 4°, saeculi decimi. Insunt excerpta varia, quae ad Johannem Lydum sexti saeculi scriptorem referenda esse videntur. Insignia potissimum eo sunt quod eadem fere omnia etiam apud Suidam et Codinum de antiquitatibus Constantinopolitanis exponentem leguntur, itemque minori ex parte in editione fragmentorum Johannis Lydi. Duumviri enim illi unde sua hauserint non satis constat, tamen dudum ex eodem fonte hausisse visi sunt. Cf. Kusteri notas ad Suidam sub Ἀδιαβηνή, sub Ἰουστινιανός, sub Ζεύς et aliis. Iam vero nil veri est similius quam utrumque ista omnia ex Johanne Lydo depromsisse, quamquam libri eius quo usi sunt non supersunt nisi excerpta, ita ut ex nostro codice supplementa editorum petenda sint. Qua de re alii iique intelligentiores viderint; nobis satis erit ipsum textum edere, unaque accurate indicare quae ratio sit inter Suidae et Codini excerpta et textum codicis nostri, qui quidem ipsa aetate illum utrumque antecedit.

Primo loco legitur: περὶ ἀδιαβηνῆς. Eadem apud Suidam sub Ἀδιαβηνή et apud Codinum De origg. Const. ed. Lambec. p. 13. Noster textus sic habet: Αὕτη ἡ χώρα κεῖται πρὸ τῆς μεσοποταμίας ὡς ἐπὶ ἀνατολήν, πέραν τοῦ τίγριδος[1]. ἐν αὐτῇ δέ ἐστιν καὶ[2]) ἄσφαλτος ἡ λεγομένη νάφθα. λέγεται δὲ ἀδιαβηνὴ διὰ τὸ εἶναι πλείονας (Suid. πλείους) ποταμοὺς ἐν αὐτῇ καὶ δυσχερεστέραν ποιεῖν τὴν διάβασιν. ἐκεῖ[3]) ἐστιν καὶ ἡ νινευή (Suid. et Cod. νινευί, cod. Suidae A -ή). τοσαύτην δὲ ἀσφάλειαν ποιεῖ τοῖς κτίσμασιν ἡ ἄσφαλτος, ὥστε ταῖς ὀπταῖς πλίνθοις καὶ τοῖς λεπτοῖς λίθοις συμμιγεῖσα ἰσχυροτέρα γίνεται παντὸς σιδήρου. ἐκεῖσε δέ ἐστι καὶ τὸ ἄορον[4]) στόμιον (Codin. στόμα), ἐξ οὗ δεινὸν πνεῦμα ἀναδίδοται, ὥστε πᾶν μὲν ἐπίγειον ζῶον πᾶν δὲ πτηνὸν[5]) ἀποφθείρειν· καὶ εἰ πρὸς τὸ τυχὸν ὀσφρήσαιτο (Suid.—σαιτο) καὶ εἰ ἐσκεδάννυτο, οὐκ ἂν ὠκίσθη ὁ χῶρος ἀλλὰ κατ' εὐθεῖαν ἄνεισιν, καὶ ὀλίγον ἀνερχόμενον πάλιν ἀντανακλᾶται[6]), καὶ ἐκ τούτου τά τε (Cod. om.) ἐν ὑψηλοτέρῳ πετόμενα σώζεται καὶ τὰ πέριξ νεμόμενα[7]). λέγει δὲ ὁ δίων τοιοῦτόν τι (Codin. τε) ἑορακέναι (Codin. ἑωρακ.) ἐν ἱεραπόλει τῆς ἀσίας, ὅπερ πάντα τὰ ὀσφραινόμενα φθείρει πλὴν τῶν εὐνούχων. ἔστιν δὲ ἐν τῇ ἀδιαβηνῇ καὶ ἡ κτησιφῶν.

Secundo loco legitur: πόθεν λέγεται αὐγουστεῖον. Cf. Suid. sub Αὔγουστος; item Codin. De origg. Constant. (ed. Lambec. Paris. 1655.) pag. 16. nr. 32; item Joh. Lyd. de men-

1) Suid. (ed. Gaisf.) Τίγρητος, cod. BE Τίγριδος.
2) Codin. ἡ abque καί, item codd. Suidae ABE.
3) Suid. et Codin. addunt ποῦ, sed om. codd. Suidae ABE.
4) Ita codex, sed e Suida et Codino corrigendum videtur Ἄορνον.
5) Codin. ὥστ' ἐπίγειον ζῶον ἅπαν καὶ πετεινόν.
6) Codin. ἀποφθείρειν, εἴπερ τύχοι ὀσφρανθῆναι· καὶ οὐ κατ' εὐθεῖαν ἐξέρχεται· ὀλίγον δὲ ἀνερχόμενον ἄνεισι καὶ πάλιν ἀντανακλᾶται.
7) Hac voce finitur Suidae nota. Codinus in ed. Lamb. sic: καὶ τὰ πέριξ Ἀσίας ὥσπερ πάντα ὀσφραινόμενα φθείρει πλὴν τῶν εὐνούχων, sed codex Codini Vaticanus pergit λέγει usque εὐνούχων.

sibus (ed. Bekker Bonn. 1837.) pag. 107. nr. 86. Codex noster sic: *Τῇ πέμπτῃ τοῦ ὀκτωβρίου μηνὸς οἱ ῥεγεωνάρχαι* (codex ubique ρ, non ῥ) *καὶ σεβαστοφόροι*[1]) *ἐχόρευον ἐν τῷ αὐγουστείῳ*[2]), *οἷον ἐν τῷ ὀψοπωλείῳ* (codex *-πολείω*)[3]) *εἰς τιμὴν τιβερίου*[4]). *τὸν δὲ τοιοῦτον τόπον νῦν οἱ ἰδιῶται αὐγουστεῖον καλοῦσιν*[5]). Cum his coniungenda sunt quae tertio loco leguntur cum titulo: *περὶ αὐγουστείου· κεφ. β': Εἰς τὸ ἄσκεπον τῆς δάφνης εἰς τὴν μικρὰν αὐλὴν κωνσταντῖνος ὁ μέγας ἔστησεν στήλην τῆς ἑαυτοῦ μητρός, ἐξ ἧς ὠνόμασεν τὸν τόπον αὐγουστεῖον.* Ad haec proxime accedunt quae Suidas[6]) habet; paullo liberius textum suum Codinus conformavit; in Joh. vero Lydo post *καλοῦσιν* nil amplius editum est.

Quarto loco est: *περὶ ἀτραβατικῶν κεφ. γ'.* Haec in Johanne Lydo non servata[7]) et Suidas et Codinus accurate repetierunt. Textus sic habet: *Ἐν ταῖς ἑορταῖς καὶ* (Suid. et Codin. addunt *τοῖς*) *ἐπινικίοις καὶ παρόντων πρέσβεων ἐνεδύοντο* (Suid. addit *χιτῶνας καὶ*) *χλαμύδας ποικίλας ἀπὸ χρυσοῦ καὶ πορφύρας ἢ* (ita etiam Codinus; Suid. *καί*) *ἄλλως πῶς* (sic) *πολυτελεῖς· ἐν δὲ ταῖς κοιναῖς συνόδοις ξηραμπελίνας τὸ χρῶμα* (Codin. *τῷ χρώματι*), *ἃς ἐκάλουν ἀτραβατικάς, ἢ* (apud Suid. et Codin. *ἢ* deest) *ἀπὸ τοῦ χρώματος· τὸ γὰρ μέλαν ἄτρον καλοῦσιν· ἢ ὅτι μετὰ τὰς τραβαίας* (Suid. *τάς* omittit; Cod. *μετὰ τραβέων*) *ταύτας εἰώθεσαν* (Codin. et Suid. *εἰώθασι*, sed codd. Suidae AVC *-θεσαν*) *χρῆσθαι· τραβαία* (corrige *-βαῖαι*, ut est apud Suidam; Codin. *τραβέαι*) *δὲ λέγονται αἱ πολυτελεῖς [χλα]μύδες.*

Quintum locum occupat *τίτλος περὶ ἀγαλμάτων ἰανουαρίου.* Eadem apud Suidam et Codinum leguntur, sed ita ut Codinus, non item Suidas, priora prorsus fere cum nostro codice exhibeat, reliquis multo accuratius a Suida quam a Codino repetitis. Apud Joh. vero Lyd. De mensib. IV, 1. p. 51. ipsa potius res quam singula quaeque verba habentur. Textus sic habet: *Τὸ ἄγαλμα τοῦ ἰανουαρίου ἱστοροῦσι τετράμορφον διὰ τὰς τέσσαρας τροπάς*[8]). *ἄλλοι* (Codin. *ἀλλ. δέ*, Suid. *οἱ δέ*) *πλάττουσιν αὐτὸν ἐν τῇ δεξιᾷ χειρὶ* (Codin. om.) *κλεῖδα κατέχοντα* (Codin. *κατέχειν*) *ὡς ἀρχὴν τοῦ χρόνου καὶ ἄνοιξιν τοῦ ἐνιαυτοῦ καὶ θυραῖον* (Codin. *θυρεόν*, item Joh. Lyd.)· *ἕτεροι δὲ τῇ δεξιᾷ τριακοσίας, τῇ δὲ ἀριστερᾷ ξε' κατέχοντα ὥσπερ τὸν ἐνιαυτόν· ὅθεν καὶ ὁ λογγῖνος* (Joh. Lyd. tacito nomine *ἄλλος δέ*) *αἰωνοάριον αὐτὸν ἑρμηνεῦσαι βιάζεται ὡσανεὶ αἰῶνος πατέρα*[9]).

Sexto loco legitur: *περὶ ἀγάλματος* (codex *ἀγαλμάτων*) *κρατοῦντος δόρυ.* Idem capitis

[1]) Apud Joh. Lyd. *οἱ σεβαστοφ.* absque *ῥεγ..* apud Codin. *οἱ ῥεγεονάρχαι* (sic) absque *σεβ.*, apud Suidam vero utrumque legitur.

[2]) Ita etiam in Suida editum est; apud Joh. Lyd. et Codin. *ἐν τῷ Γουστείῳ.*

[3]) Ubique *ὀψοπωλίῳ* editum est.

[4]) Ita etiam Joh. Lyd. et Suidas; Codinus vero *εἰς τιμὴν τοῦ βασιλεύοντος κατὰ τὸν καιρόν.*

[5]) Iisdem prorsus verbis haec apud Joh. Lyd. leguntur excepta voce *νῦν.* Codinus *Αὐγουστιῶνα* habet. Suidas: *τὸν δὲ τοι. τόπ. οὕτως ἐκάλεσαν ἀπὸ τοῦ Αὐγούστου.*

[6]) Pergit post *Αὐγούστου*: *ἔστησε δὲ καὶ ὁ μέγ. Κωνστ. εἰς τὸ ἄσκεπες* (sed codd. AB *ἄσκεπον*) *τ. Δάφν. στήλην* etc. Codinus pergit: *ἐν ᾧ καὶ στῆλαι ἔστησαν τοῦ μεγ. Κωνστ. καὶ τῆς αὐτοῦ μητρός, διὸ καὶ ἐπωνόμασε* etc.

[7]) Apud hunc conferri potest De magistr. I, 17. p. 134.

[8]) Ita ad verbum Codinus, nisi quod *Ἰάνου* pro *Ἰανουαρίου* habet. Apud Suidam praeposito titulo *Ἰανουάριος* legitur: *Ἄγαλμα τετράμ. διὰ τὰς τέσσ. τρ.*

[9]) Haec breviora apud Codinum in hunc modum leguntur: *ἕτεροι δὲ τῇ δεξ. χειρὶ κρατεῖν ψήφων* (*ψήφους* etiam Joh. Lyd. adponit) *τριακόσια, τῇ δὲ εὐωνύμῳ ἑξήκ. πέντε, ὡσανεὶ πατέρα τοῦ χρόνου.*

titulus apud Codinum est: apud Suidam est: *Ἀθηνᾶς ἄγαλμα δόρυ κρατεῖ*, et statim pergitur *διὰ τὸ σταθερὸν* etc. Textus noster paucissimis ab utroque differt: *Τῆς δὲ ἀθηνᾶς ἄγαλμα δόρυ κρατεῖ παρὰ* (Suid. et Cod. *διὰ*) *τὸ σταθερὸν καὶ ἀνδρεῖον· ὁμοίως καὶ ἀσπίδα παρὰ* (uterque rursus *διὰ*) *τὸ πᾶσαν ἐπιβουλὴν διὰ τῆς σοφίας ἀπωθεῖσθαι· ἡ αὐτὴ γάρ ἐστι τῷ νῷ. καὶ περικεφαλαίαν διδόασιν αὐτῇ διὰ τὸ εἶναι τῆς σοφίας τὸ ἀκρότατον ἀθέατον, καὶ ἐλαίαν ὡς καθαρωτάτης οὐσίας οὔσης· φωτὸς γὰρ ὕλη ἡ ἐλαία· καὶ γοργόνα* (sic; Cod. editus *γόργονα*, Suid. *γοργόνην*) *διδόασιν ἐπὶ τοῦ στήθους αὐτῇ διὰ τὸ ταχὺ τοῦ νοῦ.*

Septimum caput inscribitur: *περὶ ἀγάλματος κρατοῦντος κιθάραν.* Idem titulus et caput apud Codinum habetur; Suidas sic: *Ἀπόλλωνος ἄγαλμα κιθάραν ἐπὶ χειρῶν ἔχον* (cod. A om.) *πλάττουσι. τοῦ ἀπόλλωνος ἄγαλμα οἱονεὶ* etc. Textus noster ita habet: *Κιθάραν ἐπὶ χειρῶν πλάττουσι τοῦ ἀπόλλωνος οἱονεὶ τὸν ἥλιον τὴν* (Codin. om.) *τοῦ παντὸς ἁρμονίαν· κιρνώμενος* (Codin. *κιρνάμενος*) *γὰρ τοῖς λοιποῖς ἄστρασι, καὶ τίκτει* (Suid. *κτίζει*) *καὶ ζωογονεῖ*[1]).

Octavum est: *περὶ ἀγάλματος τοῦ ἐν τῷ αὐγουστείῳ ἐφίππου κρατοῦντος σταυρὸν καὶ σφαῖραν.* Haec, quae apud Joh. Lyd. ut editus est non inveniuntur, pari fide apud Suidam et Codinum repetuntur. Scriptum est sic: *Κτίσας ὁ μακάριος* (Codin. om.) *Ἰουστινιανὸς*[2]) *τὴν ἁγίαν σοφίαν ἐκάθηρε* (Codin. *ἐκαθάρισε*) *τὴν αὐλὴν καὶ ἐμαρμάρωσεν αὐτὴν τὸ πρὶν* (Codin. *τὸ πρότερον*) *οὖσαν γουστεῖον* (ita etiam Codinus; Suid. *Αὐγουστεῖον*), *ὃ ἑρμηνεύεται* (pro his Codin. *ἤγουν*) *ὀψοπωλεῖον* (Suid. et Codin. *-πώλιον*), *καὶ* (Codin. *διὸ*) *ἔστησεν τὴν ἑαυτοῦ εἰκόνα* (Codin. *στήλην*) *ἐπὶ κίονος ἔφιππον· καὶ τῇ μὲν ἀριστερᾷ χειρὶ φέρει σφαῖραν, ἐμπεπηγότος* (Suid. add. *τοῦ* sed id om. codd. AV) *σταυροῦ ἐν αὐτῇ καὶ ὑποσημαίνοντος* (Codin. om. *κ. ὑπ.*) *ὡς διὰ τῆς εἰς τὸν σταυρὸν πίστεως τῆς γῆς* (Codin. add. *πάσης*) *ἐγκρατὴς γέγονεν* (Codin. *γεγονώς*). *σφαῖρα* (codex *-ραν*) *μὲν γὰρ* (Suid. et Codin. om.) *ἡ γῆ διὰ τὸ σφαιροειδὲς τοῦ αὐτῆς σχήματος· πίστεως* (Suid. et Cod. *πίστις*) *δὲ ὁ σταυρὸς διὰ τὸν ἐν αὐτῷ σαρκὶ προσηλωθέντα* (Cod. *πρ. σ.*) *θεόν. τὴν δὲ* (Cod. om.) *δεξιὰν χεῖρα ἀνατεταμένην ἔχει* (Suid. *ἔχων*) *κατὰ ἀνατολὰς στάσιν τῶν περσῶν σημαίνων, καὶ μὴ μεταβαίνειν ἐπὶ τῆς ῥωμαϊκῆς γῆς διὰ τῆς ἀνατάσεως καὶ ἀπώσεως τῆς χειρὸς* (Suid. *τῶν χειρῶν*) *βοῶν· στῆτε Πέρσαι καὶ μὴ πρόσω χωρεῖτε, οὐ γὰρ συνοίσει ὑμῖν.*

Sequitur nono loco: *περὶ ἀγάλματος ἔχοντος ψαλίδα χαλκῆν* (codex *-κήν*, item infra). Haec ex Joh. Lydo nondum edita sunt; iisdem fere verbis redduntur a Codino, paullo liberius a Suida. *Τὴν ἥραν λέγουσιν εἶναι τὸν ἀέρα· καὶ ἐπεὶ*[3]) *ὁ ἀὴρ καθαίρει, ποιοῦσι τῆς ἥρας* (Codin. addit *τὸ*) *ἄγαλμα βαστάζον*[4]) *ψαλίδα ψαλκῆν, ἀπὸ μεταφορᾶς ψαλίδος τῆς ἀποκειρούσης* (Codin. *τῆς ἄνω κειρούσης*) *τὰς τρίχας*[5]) *καὶ καθαρὸν ἀποδεικνυούσης τὸ σῶμα.*

Decimo loco legitur: *περὶ ἀγάλματος βαστάζοντος πύργους.* Exscripsit ista Suidas prioribus tantummodo mutatis; item accurate Codinus omissis paucis. Johannis Lydi nuper fragmentum editum est, ortum ex nostris ut videtur in brevius contractis. *Τὴν*

1) Apud Joh. Lyd. cf. p. 73. De mensib. IV, 38. – – *Κιθάρωνα ὠνόμασαν· ὅθεν Ἑρμῆς κιθάραν δίδωσι μυθικῶς τῷ Ἀπόλλωνι, οἷον ὁ Λόγος τῷ ἡλίῳ τὴν τοῦ παντὸς ἁρμονίαν.*

2) Suidas: *Ἰουστινιανός. Οὗτος κτίσας* etc.

3) Suidas: *Ἥρα, Ὁ ἀήρ. καὶ ἐπεὶ* etc.

4) Suid. *καθαίρ., τὸ εἴδωλον αὐτῆς ἀντιβαστάζει ψ. χ.*

5) Suid. *ἀπὸ μεταφ. τῆς κειρούσης ψαλ. τὰς τρ.*

δήμητρα (correctum est *-τραν*) *οἱ παλαιοὶ τὴν γῆν λέγουσιν οἱονεὶ γήμητρα* (Codin. *καλοῦσι* omissis *οἱ. γήμ.*)· *καὶ ἐπεὶ*[1]) *ἕδρα πάσης πόλεως ἡ γῆ ἐστιν* (sic) *ὡς βαστάζουσα τὰς πόλεις, πλάττεται πυργοφόρος*[2]).

Undecimo loco legitur: *περὶ ἀγάλματος κτένα φέροντος, πολλάκις δὲ καὶ γένη ἔχοντος*[3]). Haec satis accurate et Suidas et Codinus habent; editio Johannis Lydi non habet. *Τῆς ἀφροδίτης τὸ*[4]) *ἄγαλμα πλάττουσι κτένα φέρον*[5]), *ἐπειδὴ συνέβη ποτὲ ταῖς τῶν ῥωμαίων γυναιξὶν κνηφὴν λοιμώδη* (in codice *δη* omissum) *γενέσθαι, καὶ ξυρουμένων πασῶν γεγόνασιν αὐταῖς οἱ κτένες ἀχρεῖοι· εὐξαμένας δὲ τῇ ἀφροδίτῃ ἀνατριχωθῆναι, τιμῆσαί τε αὐτὴν ἀγάλματι κτένα φέρουσαν*[6]). *πλάττουσι δὲ αὐτὴν*[7]) *καὶ γένειον ἔχουσαν* (Codin. *ἔχειν*), *ὅτι* (Suid. *διότι*, codex *διό*) *καὶ ἄρρενα καὶ θήλεα ἔχει ὄργανα*[8]). *αὐτὴν* (Suid. *ταύτην*) *γὰρ λέγουσι τὴν* (Suid. et Cod. om.) *ἔφορον γενέσεως παντός* (Cod. *τοῦ παντ.*, Suid. *πάσης*). *καὶ ἀπὸ τῆς ὀσφύος καὶ ἄνω* (Cod. *ὀσφ. τῆς ἄνωθεν*) *λέγουσιν αὐτὴν ἄρρενα, τὰ δὲ κάτω θήλεα* (Suid. et Cod. *-λειαν*). *πλάττουσι δὲ αὐτὴν καὶ ἔφιππον, ὅτι ὁ* (Suid. et Cod. om.) *αἰνίας* (Suid. et Cod. *-είας*) *ὁ υἱὸς αὐτῆς πλεύσας μέχρι τῆς δύσεως, μετὰ τοῦτο ἵππῳ ἐπέβη, καὶ τὴν μητέρα ἐτίμησεν* (Cod. *-μήσατο*) *τοιούτῳ ἀγάλματι.*

Sequitur duodecimo loco: *περὶ ἀγάλματος βαστάζοντος ἐν τῇ ἀριστερᾷ χειρὶ μῆλα γʹ τοῦ ἡρακλέως. Τὸν Ἡρακλέα τὸν χρόνον λέγουσιν, ὅς ἐστι τριμερής· ἔαρ, θέρος, καὶ χειμών.* Cum his cf. Suidae haec: *Ἡρακλέους ἄγαλμα βαστάζον ἐν τῇ ἀρ. χ. μῆλα γʹ διὰ τὸ, τὸ τριμερὲς τῆς ψυχῆς κεκοσμῆσθαι αὐτόν.* Item apud Joh. Lyd. De mensibus IV, 46. pag. 81. *Ἡρακλῆς δὲ ὁ χρόνος παρὰ τῷ Νικομάχῳ εἴρηται -- καὶ ἄλλως δὲ τρία* (*μῆλα*), *ὅτι τριμερὴς ὁ χρόνος.*

Tertium decimum caput est: *περὶ ἀγάλματος τοῦ διὸς καθημένου γυμνὰ ἔχοντος τὰ ἄνω, τὰ δὲ κάτω ἐσκεπασμένα, κρατοῦντος ἐν τῇ εὐωνύμῳ σκῆπτρον τῇ δὲ δεξιᾷ ἀετόν.* His gemina vide apud Suidam sub *Ζεύς*, et apud Codinum, apud quem caput inscribitur: *περὶ ἀγ. τοῦ διός.* Textus sic habet: *Ἄγαλμα πλάττουσι τοῦ διὸς καθήμενον*[9]), *γυμνὰ ἔχον τὰ ἄνω* (Cod. *ἔχον τὰ μὲν ἄ. γ.*), *τὰ δὲ κάτω ἐσκεπασμένα. κρατεῖ* (Suid. *κρατοῦν*) *δὲ τῇ μὲν εὐωνύμῳ σκῆπτρον, τῇ δὲ δεξιᾷ* (Suid. *δεξ. δέ*, cod. E *δὲ δεξ.*) *ἀετὸν προτείνει* (Suid. *-τεῖνον*). *καὶ τὸ*[10]) *μὲν καθῆσθαι τὸ ἑδραῖον τῆς δυνάμεως αἰνίττεται, τὸ δὲ τὰ ἄνω γυμνὰ ἔχειν ὅτι φανερὸς*[11]) *τοῖς νοεροῖς καὶ τοῖς οὐρανίοις τοῦ κόσμου μέρεσι· τὰ δὲ λοιπὰ σκέπεται* (codex male *σκέπτετ.*) *ὅτι* (Suid. et Cod. *διότι*) *τοῖς χαμαιζήλοις ὁ θεὸς ἄγνωστος. τὸ δὲ τῇ λαιᾷ σκῆπτρον κατέχειν σημαίνει* (Cod. om.) *τὸ ἐξουσιαστικόν. τὸ δὲ τῇ ἑτέρᾳ προ-*

[1]) Suidas sic: *Δημήτηρ ἐστὶν ἡ γῆ οἱονεὶ Γημήτηρ τις οὖσα· ἐπεὶ δὲ* etc.

[2]) Johannis Lydi huc spectant haec: *ὅτι ἡ Δημήτηρ πόλεώς ἐστι καταρκτική, οἱονεὶ ἡ Γῆ· ὅθεν καὶ πυργοφόρον αὐτὴν γράφουσι.* Vide De mensibus III, 34. pag. 45.

[3]) Extrema: *πολλάκις* usque *ἔχοντος*, desunt apud Codinum.

[4]) Suidas sic: *Ἀφροδίτη. Ταύτης τὸ* etc.

[5]) Codinus: *φέρει.* omisso *πλάττουσι.*

[6]) Haec eodem modo apud Suidam leguntur; Codinus vero *ἀγάλμασι κτένα φέρουσι.*

[7]) *πλ. δὲ αὐτήν*: haec in Suida male deesse iam observatum est.

[8]) Codinus: *ἔτι δὲ καὶ ἄῤῥενος καὶ θηλείας ὄργανα.*

[9]) Suidas sic: *Ζεύς. Τούτου τὸ ἄγ. ἱστοροῦσι καθήμενον.*

[10]) Pro *τὸ μὲν* et ter *τὸ δὲ* antiquissima manu *τῷ μὲν, τῷ δὲ* correctum est. Suid. et Cod. confirmant *τό.*

[11]) Antiquissima manu additum *ἐστι.*

τείνειν ἀετὸν ὑποδηλοῖ (Suid. et Cod. δηλοῖ) ὡς (Cod. ὅτι) τῶν ἀεροφόρων πνευμάτων κρατεῖ ὡς ὁ ἀετὸς τῶν μεταρσίων ὀρνέων [1]).

Quartum decimum: περὶ ἀγάλματος τῆς γῆς τύμπανον βαστάζοντος. Cf. Suidam sub Ἑστία et Codin. pag. 15. nr. 31. Ὅτι γυναῖκα (codex γυναικεία) πλάττουσι τὴν ἑστίαν οἱονεὶ τὴν γῆν τύμπανον βαστάζουσαν [2]), ἐπειδὴ τοὺς ἀνέμους ἡ γῆ ὑφ' ἑαυτῆς (Suid. et Cod. -τὴν) συγκλείει.

Quintum decimum est: περὶ ἀγάλματος σελεύκου τοῦ νικάνορος κέρατα ἐν τῇ κεφαλῇ ἔχοντος. Apud Codinum omittitur in titulo σελ. τ. νικ. Suidas sub Σέλευκος sic incipit: Οὗτος ἐπεκέκλητο Νικάνωρ, ὃς τῷ ἰδίῳ υἱῷ etc. Scriptum est in nostro codice: Περὶ ἀγάλματος (Cod. Τὸ δὲ ἄγ. τοῦ) σελεύκου τοῦ δι' ἀνδρείαν ὀνομασθέντος νικάνορος (Codin. Νικάτορος) τοῦ δόντος τῷ ἰδίῳ υἱῷ (Cod. τῷ υἱῷ αὐτοῦ) ἀντιόχῳ τὴν στρατονίκην τὴν ἑαυτοῦ γυναῖκα ἐρασθέντι αὐτῆς καὶ διὰ τὸν πρὸς αὐτῆς (Suid. et Codin. πρ. αὐτὴν) ἔρωτα ἀσθενήσαντι καὶ ἐπικρυπτομένῳ, γνωσθέντι δὲ ὑπὸ ἐρασιστράτου τοῦ ἰατροῦ, φασὶ (Suid. et Cod. ἰατροῦ. φασὶ δὲ) συνόντα σέλευκον ἀλεξάνδρῳ τῷ μακεδόνι ταῦρον θυομένῳ ἀποδράντα μόνον σέλευκον περιγενέσθαι αὐτοῦ τῶν κεράτων κρατήσαντα· καὶ διὰ τοῦτο τῷ ἀγάλματι αὐτοῦ περιτιθέασι τῇ κεφαλῇ (Suid. et Cod. ἐν τῇ κεφ. περιτ.) κέρατα.

Sextum decimum: περὶ ἀγάλματος βαστάζοντος μάρσιππον τοῦ ἑρμοῦ. Apud Codinum p. 15. est περὶ ἀγ. Ἑρμοῦ β. μάρσιπον. Apud Suidam vide sub Ἑρμῆν, inde a verbis Λέγουσι δὲ αὐτὸν καὶ τοῦ κέρδους αἴτιον. Noster textus sic: Τοῦ κέρδους αἴτιον λέγουσι καὶ τῶν ἐμπορίων (Cod. καὶ ἐμπόριον) τὸν Ἑρμῆν· ὅθεν τὸ ἄγαλμα αὐτοῦ ἱστῶσι βαστάζον (Cod. -ζειν) μάρσιππον (Suid. et Cod. μάρσιπον, codd. Suidae -συπον). ἀλλὰ καὶ οἱ φοίνικες τοὺς θεοὺς αὐτῶν πλάττουσιν ἐπιφέροντας βαλάντια (adde χρυσᾶ), ὡς τοῦ χρυσοῦ συμβόλου (codex -βούλου) ὄντος δυναστείας· οἱ δὲ ἕλληνες σιδηροφοροῦντας αὐτοὺς πλάττουσιν ὡς τοῖς ὅπλοις ὑποταττομένων τῶν ἀνθρώπων (Codin. ὑποταττομένους τὸ ἀνθρώπινον).

ὁδων ἀπὸ τῆς Ἀντιοχείας ἐληλυθὼς λέγων Πέτρωι Εἰδέναι σε θέλω, κύριέ μου, ὅτι Σίμων ἐν τῆι Ἀντιοχείαι, ὅτε ὑπῆρχε δημοσίᾳ πολλὰ τεράστια ποιῶν, οὐδὲν ἄλλο προσδιελέγετο ἢ σὲ πρὸς αὐτοὺς πρὸς μῖσος ποιῶν, μάγον τε ὀνομάζων καὶ γόητα καὶ μιαιφόνον· καὶ πρὸς τοσοῦτον αὐτοὺς μῖσος παρεσκεύασεν, ὡς γλίχεσθαι πάντα ἄνθρωπον τὸν ἐκεῖ ἐπιδημήσαντα (cod. additum habet σε) τῶν σαρκῶν αὐτῶν ἀπογεύσασθαί σου. 28. ἡμεῖς δὲ πολὺ κατὰ σοῦ βρύχουσαν τὴν πόλιν ἑωρακότες, ἤλθομεν τοῦ ἀπαγγεῖλαί σοι· ἀλλὰ καὶ ὑπὸ Καίσαρος πεμφθεὶς βασιλικὸς πρὸς τὸν τῆς ἐπαρχίας ἡγούμενον εἰς ἀναζήτησιν Σίμωνος, μαθὼν ὅτι φυγὰς εἰς Ἰουδαίαν ἐπορεύθη, καὶ αὐτὸς εἰς ἀναζήτησιν αὐτοῦ ἀπῆλθεν, ἵνα κατὰ τὴν πρόσταξιν Καίσαρος τιμωρήσηται αὐτόν. 29. ταῦτα ἀκούσας ὁ Πέτρος ἔφη πρὸς τὸν πατέρα Αὐτὸς ἰδίοις ὠσὶν ἀκήκοας τῶν προόδων ἀπὸ Ἀντιοχείας ἐληλυθότων καὶ εἰπόντων ὡς ἐκεῖ γεγονὼς Σίμων ἰσχυρῶς τοὺς ὄχλους κατ' ἐμοῦ παρώξυνε, μάγον καὶ μιαιφόνον πλάνον τε καὶ γόητα ἀποκαλῶν. ποίησον οὖν ὡς ἐγώ σοι λέγω, καταλιπὼν Κλήμεντα παρ' ἐμοί, καὶ προλαβὼν ἡμᾶς εἰς τὴν Ἀντιόχειαν μετὰ τῆς συμβίου σου, ἔτι δὲ καὶ Φαυστίνου καὶ Φαυστινιανοῦ τῶν υἱῶν σου· συνέσονται δέ σοι καὶ ἄλλοι τινὲς οὓς ἐγὼ κρίνω δυνατοὺς ὑπουργῆσαι τῶι ἐμῶι θελήματι. μετὰ τούτων ἐν Ἀντιοχείᾳ γενόμενος ἐν ὅσῳ ὁ Σίμων φαίνῃ (cod. φαίνηται), δημοσίᾳ κήρυξον τὴν σεαυτοῦ μετάνοιαν. 30. ταῦτα τοῦ Πέτρου εἰπόντος Οἶδα, ἔφη ὁ πατήρ, ὅ τι (ita codex) βούλει· διὸ μὴ κάμνε· ἐμοὶ γὰρ οὐχ ἧττον μελήσει ἐκεῖσε ἐλθόντι διαλεχθῆναι ἃ χρὴ περὶ σοῦ διαλέγεσθαι. 31. καὶ δὴ τοῦ πατρὸς ὑπὸ νύκτα μεθ' ὧν ἐπέλευσε Πέτρος σὺν τῶι Ἀννουβίωνι ὁρμήσαντος ἐπὶ τὴν πλησίον Ἀντιόχειαν ἦλθε. καὶ στὰς ἐν μέσωι τῆς ἀγορᾶς εἶπεν πρὸς τὸ πλῆθος τοῦ λαοῦ 32. Ἐγὼ Σίμων

28. Epit. - - πεμφθ. τις βασ. - - εἰς Ἰουδ. ᾤχετο, κ. α. κατὰ ζήτησιν - - αὐτόν. Ex his pauca tantum cum Hom. conveniunt. Cf. XX, 13. post ἀπογεύσ. σου, ubi pergitur: ὅθεν ἡμεῖς οἱ πρόοδοι, rursus post alia πολὺ κατὰ σοῦ βρύχουσαν τὴν πόλιν ἑωρακότες, κρύφα εἰς τὸ et post alia Κορνήλιος ἑκατόνταρχος ὑπὸ Καίσαρος πεμφθεὶς πρὸς τὸν τῆς ἐπαρχ. ἡγούμενον, ὃν ἐν etc.

29. Epit. CXXXIII. et Hom. XX, 18. ταῦτα ἀκ. φησὶ πρ. τ. πατ. ὁ Πέ. (pro his Hom. τοῦ δὲ πατρὸς εἰπόντος Πᾶν etc. ὁ Πέ. ἀνεκρίνατο) Αὐτὸς ἰδίοις (Epit. ed. ἰδίαις) - - προόδ. (Hom. add. μου) - - ἐληλυθ. (Epit. εἰσεληλ., sed al. ἐληλ. al. συνεληλ.) - - ὁ Σίμ. - - κατ' ἐμ. παρ. (Ep. πα. κ. ἐ.) μάγ. (Ep. πλάνον τε) κ. μι. πλ. τε κ. γό. ἀποκ. (Ep. κ. μι. πρὸς δὲ καὶ μάγ. κ. γό. καὶ τὰ τοιαῦτα καλῶν. Hom. vero his addit: ἐπὶ τοσοῦτον ὡς γλίχεσθαι πάντας τοὺς ἐκεῖ τῶν ἐμῶν ἀπογεύσασθαι σαρκῶν). ποιήσεις οὖν ὡς ἐγὼ λέγω (pro his Epit. νῦν οὖν ἐξαυτῆς ποίησον ὃ ἐγώ σοι ἐντέλλομαι), καταλ. (Ep. καὶ κατ.) καὶ (Epit. om.) προλαβὼν (Hom. προαγαγὼν) ἡμᾶς (Ep. αὐτὸς) ε. τὴν (Hom. om.) Ἀντιόχειαν (Ep. male -χέων) μετὰ (Ep. male κατὰ) τ. συμβ. σ. (Ep. τῆς γυναικὸς Ματθιδίας), ἔτι δὲ Φ. - - σου (Ep. om.) - - οὓς ἐγὼ - - θελήμ. (pro his Epit. οἵτινες δυνατοὶ ἔσονται ὑπουργ. μου τῷ βουλήματι) - - ἐν τῇ Ἀντ. γενόμ. (haec vox in Hom. cod. excidit) - - ὁ (Hom. ὡς) Σίμ. φαίνῃ (Ep. ἐν ὅσῳ τὴν μορφὴν ἔτι Σίμωνος περιφέρεις) - - μετα [μέλειαν] (omnino cum nostro cod. et Epit. Cotelerii scribendum est μετάνοιαν).

30. Hom. XX, 20. ταῦτα τ. Π. ὑποτιθεμένου usque διαλέγεσθαι prorsus consentit. Aliter Epit. CXXXIX. ταῦτα τ. Π. εἰπόντος, ὀξὺς ἂν εἰς τὸ νοῆσαι Φαῦστος Οἶδα, ἔφη, κύριέ μου, τί βούλεται τὰ ῥήματα ταῦτα. διὸ μὴ κάμνε· μελήσει γάρ μοι ἐκεῖσε γενομένῳ διατελέσαι τὸ προσταττόμενον.

31. Hom. XX, 21. ad verbum consentit usque Ἀντιόχειαν, tum alia sequuntur. Multo minus consentit Epit. l. l. καὶ δὴ τὰ (al. δῆτα) ὑπὸ νύκτα ὁ πατὴρ μεθ' ὧν ἐκ. Π. τῆς πόλεως ἐξορμήσας ἐπὶ τὴν etc. Post verba καὶ στὰς - - εἶπ. (Epit. εἴρηκε) πρ. τ. πλ. (Epit. om. τοῦ λαοῦ) rursus consentit Hom. XX, 19. multo magis quam Epitome, et ipse Hom. textus ex nostro cod. corrigendus est.

32. Hom. l. l. Epit. l. l. Ἐγὼ Σί. (Epit. repetit h. l. ἐγὼ) ὁμολογῶ (ita etiam in Hom. reponendum est pro ὁμολογῶν, Epit. καὶ ὁμολογῶ) ἀδ. καταψεύ[σασθαι τὰ τοῦ Πέ. οὐ γάρ] ἐστι (potius in his cum nostro cod. et Epit. ed. omitte τὰ et repone οὐκ pro οὐ γάρ) - - ἔλεγον (Hom. λέγων ἔφθανον ὑπὸ θυμοῦ ἐλαυνόμενος) - - αὐτὸς ἐγὼ (Epit. ἐγὼ αὐτ.) - - τοῦ γὰρ - - ἐστ. οὗτος ἀπόστ. (pro his Hom. sic: τοῦ γὰρ ὑπὸ θεοῦ πρ. σωτ. κόσμ. ἀπεσταλμένου ἀληθοῦς προφήτου ἀληθής ἐστ. ἀπόστ. - - αὐτὸς (Epit. add. ἐγὼ) συμβ. - - κηρύσσω (omnino e nostro corrige -σσει) - - ἀπολεῖται (pro his, in quibus tantopere noster cod. et Hom. consentiunt, Epit. sic: σύμβουλος ὑμῖν τά γε πρὸς σωτηρίαν τὴν ὑμετέραν καθίσταμαι, καὶ παραινῶ πείθεσθαι τούτῳ καὶ πιστεύειν τῷ ὑπ' αὐτοῦ κηρυσσομένῳ θεῷ, ἐπεὶ πᾶσα etc.)

ταῦτα ὑμῖν κηρύσσω· ὁμολογῶ ἀδίκως καταψεύσασθαι Πέτρου· οὐκ ἔστι πλάνος, οὐ μιαιφόνος, οὐ γόης, οὐδὲ ὅσα ποτὲ φαῦλα περὶ αὐτοῦ ἔλεγον· δέομαι ὑμῶν, αὐτὸς ἐγὼ ὁ τοῦ πρὸς ὑμᾶς μίσους αἴτιος αὐτῷ γεγονώς, παύσασθε μισοῦντες αὐτόν· τοῦ γὰρ πρὸς σωτηρίαν κόσμου ἐπιφανέντος υἱοῦ τοῦ θεοῦ ἀψευδής ἐστιν ἀπόστολος. διὸ καὶ αὐτὸς συμβουλεύω αὐτῷ ὑμᾶς πείθεσθαι περὶ ὧν κηρύσσει, ἐπεὶ πᾶσα ὑμῶν ἡ πόλις ἄρδην ἀπολεῖται. 33. *δι' ἣν δὲ αἰτίαν ὑμῖν ταῦτα ὡμολόγησα, εἰδέναι ὑμᾶς θέλω. ταύτῃ τῆι νυκτὶ ἄγγελοί με τοῦ θεοῦ τὸν ἀσεβῆ, ὡς ἐχθρὸν ὄντα τῶι τῆς ἀληθείας κήρυκι, δεινῶς ἐμαστίγουν. παρακαλῶ οὖν μηδ' ἂν αὐτὸς ἐγὼ ἄλλοτε ἐλθὼν κατὰ Πέτρου ἐπιχειρῶ λέγειν ἀποδέξησθέ με· ἐξομολογοῦμαι γὰρ ὑμῖν, ἐγὼ μάγος, ἐγὼ πλάνος, ἐγὼ γόης. ἀλλὰ μετανοῶ· ἔξεστι γὰρ ἴσως μετανοίαι ἀπολοῦσαι τὰ πεπραγμένα μοι ἁμαρτήματα.* 34. *ταῦτα εἰπὼν ὁ πατὴρ δημοσίᾳ, ὡς ἐκ προσώπου Σίμωνος καὶ Πέτρου* (cod. *-τρου*) *εὐλογήσας, τὴν πᾶσαν Ἀντιοχέων πόλιν εἰς πόθον μετέθηκε, καὶ ἐκ τούτου πάντες ἐπιθυμεῖν ἰδεῖν αὐτὸν ἐπήγγελλον. ἐνίους καὶ χαλεπαίνοντας αὐτῷ ὡς Σίμωνι, δι' ἣν πρὸς Πέτρον εἶχον ὑπερβάλλουσαν στοργήν, καὶ χεῖρας θέλειν ἐπιβαλεῖν τῷ Φαύστωι ὡς Σίμωνι. διὸ μήπως ἀναιρεθῇ δεδοικώς, ἐξ αὐτῆς ἐλθεῖν πέμψας ἠξίου τὸν Πέτρον, ὅπως αὐτὸν ζῶντα ἐπικαταλάβῃ, καὶ τῆι πόλει ἀκμαζούσῃ πόθῳ τῶι πρὸς αὐτὸν εὐκαίρως ἐπιφανῇ.* 35. *Πέτρος δὲ ταῦτα ἀκούσας πρὸς τὸ ἐκκλησιάζειν πλείστους συναγαγὼν καὶ ἐπίσκοπον καταστήσας, βαπτίσας τε καὶ ἰασάμενος, ἡμερῶν ἐπιμείνας τριῶν τῆι Λαοδικείαι, ἐπὶ τὴν πλησίον ὁρμήσειν Ἀντιόχειαν ἔσπευσε.* 36. *καὶ δὴ τὴν πόλιν καταλαβών, ἅπαν τὸ πλῆθος προσδραμὸν μετὰ χαρᾶς ὑπεδέξατο αὐτόν, ὡς ὄντα τῆς ἀληθείας κήρυκα καὶ ἀπόστολον. προσευξάμενος δὲ καὶ ἐπιθεὶς αὐτοῖς τὰς χεῖρας πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσε, καὶ ἕνα θεὸν ἐν τρισὶν ὑποστάσεσιν εὐαγγελισάμενος καὶ πολλὰ διδάξας αὐτοὺς περὶ μοναρχίας, πρὸς τὴν ξενίαν ἀπῄειμεν. γνοὺς δὲ ὁ πατὴρ ἡμῶν τὴν παρουσίαν τοῦ ἀποστόλου, προσδραμὼν κατεφίλησε τὰ ἴχνη αὐτοῦ, παρακαλῶν αὐτὸν λαβεῖν τὸ ἅγιον βάπτισμα, ὅπως τὸ ἀρχαῖον κάλλος τῆς ψυχῆς καὶ τὴν μορφὴν τοῦ σώματος ὁμοῦ διὰ τοῦ ἁγίου βαπτίσμα-*

33. Haec rursus multo magis cum Hom. quam cum Epit. conveniunt et eiusmodi sunt unde corrigas Homiliarum textum. Hom. l. l. Epit. l. l. *δι' ἣν δὲ* - - *θέλω* (Epit. pro his: *ὅτου δὲ χάριν εἴρηκα ταῦτα, καὶ τοῦτο ὑμᾶς εἰδέναι βούλομαι*). *ταύτης τῆς νυκτὸς* (Ep. *ταύτῃ γὰρ τ. ν.*) - - *τοῦ* (Epit. om.) *θεοῦ* - - *ἐπελθὼν* (Ep. *ἐλθ.*) - - *ἐπιχειρῶν λέγω* (multo rectius Ep. cum nostro), *μὴ* (Ep. om.) - - *ἐγὼ* (Epit. *ὡς ἐγὼ*) *μάγος* - - *ἀλλὰ μετανοῶ* (haec Hom. male om.; omnino inserenda sunt)· *ἔξεστι* - - *ἀπολῦσαι* (potius cum nostro scribe *ἀπολοῦσαι*) *τὰ προπεπραγμ.* (ita melius nostro) *μοι ἁμ.* (extrema Epit. sic: *ἔξ. γ. ἴ. μετ. μοι τὰ κακῶς πεπραγμ. μοι συγχωρηθῆναι*).

34. Epit. CXL. *ταῦτα εἰπ.* - - *ἢ ὡς* - - *εἰς τὸν ἐκείνου πόθ. μετ.* Cf. ad haec Hom. XX, 23. *πῶς ὁ πατὴρ δημο[σίᾳ] αὐτοῦ μορφῆς κατηγορῶν Πέτρον εὐλογῶν τὴν πᾶσ. Ἀντ. π. εἰς πόθ. μετ.* Verba *καὶ ἐκ* usque *ἐπήγγ.* (in Epit. *κ. πάντ. ἐπιθυμεῖν αὐτοῦ δεινῶς ἔλεγον*) respondent his in Hom. XX, 23: *καὶ ἐκ τ. πάντας ἐπιθυμεῖν αὐτ. ἰδ. ἀπήγγελλεν* (ita ed. Dress. sed ipse codex *-γελλο*). Sequentia: *ἐνίους* usque *Σίμωνι* plane cum Hom. conveniunt; Epit. vero *ἔνιοι δὲ καὶ χαλεπαίνοντες αὐτῷ ἦσαν δῆθεν, οἷά περ αὐτῷ ἐκείνῳ Σίμωνι ὄντι.* Pergit Hom. *διὰ τὴν πρ. Πέ. ὑπερβ. στοργ. κ. χεῖρας* usque *Σίμωνι;* Epit. vero *διὰ τὸ ὑπερβάλλον τῆς περὶ τὸν Πέ. στοργῆς, καὶ χεῖρ. ἐπιβ. ἐπεχείρουν.* Inde a *διὸ μήπως* usque *ἐπιφανῇ* ad verbum convenit Hom. nisi quod *δεδοικότα* et *πέμψαντα ἀξιοῦν* habet. Vario modo differt Epit. *καὶ ὅς μὴ παρ' αὐτῶν ἀναιρ. δεδοικώς* - - *ἐπικαταλ. ζῶντα, καὶ ἀκμαζ. τῷ πρ. αὐτ. πόθ. τῇ πόλ. εὐκ. ἐπιφ.*

35. Hom. l. l. Epit. l. l. *Πέ. δὲ ταῦτα* (Ep. *τούτων*) - - *συναγαγ.* (Ep. ed. *ἀγαγ.*) *κ. ἐπ.* (Ep. *ἐπ. τε*) *καταστ.* (Hom. *ἐκ τῶν ἀκολούθων κατ.*) *βαπτ. καὶ ἰασ.* (Ep. *καὶ ἰασάμ. πολλοὺς καὶ βαπτ.*) *ἡμερῶν* (Ep. *-ρας*) *ἐπ. τριῶν* (Ep. *τρεῖς*) - - *ἔσπευσε.* (Hac voce terminatur editio Dresselii, sed nonnihil deesse ex iis quae in Epit. et in Recogn. sequuntur credibile fit.)

36. Epit. CXLI. - - - *ὑπολαβόντα, τὸ πλ. συνδραμ. ἅπαν μ. χαρ. ὑπ. ὡς τῆς* - - *καὶ χεῖρας αὐτ. ἐπιθ.* - - *ἐθεράπ., ἕνα τε θεὸν* - - *μοναρχίας. εἶτα πρὸς τ. ξ. ἀπ. γν. δὲ ὁ γέρων ὅτι Πέ. παρῆν, προσδραμ. ἑαυτόν τε τῇ γῇ προσκαταλαβὼν τὰ ἐκείνου κατησπάζετο ἴχνη, ἀξιῶν τῷ θείῳ τελειωθῆναι βαπτίσματι, ὥστε τὸ ἀρχ. τε τῆς ψ. κάλλ.* - - *σώματος ἀπολαβεῖν διὰ τοῦ βαπτ. καὶ κοινωνὸς τ. ἀχρ. γενέσθαι τοῦ Χρ. μυστ.*

τος ἀπολαβὼν κοινωνὸς τῶν ἀχράντων καί ζωοποιῶν τοῦ Χριστοῦ μυστηρίων γένηται. 37. καὶ ὁ Πέτρος πρὸς αὐτὸν ἔφη Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ εἶπεν Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, καί Κατὰ τὴν πίστιν σου γενηθήτω σοι ὡς θέλεις. πολλὰ δὲ καὶ ἕτερα ἀπὸ τῶν θείων γραφῶν τοῦτον κατήχησεν. ἑσπέρας δὲ γενομένης μεταλαβόντες τροφῆς ὑπνώσαμεν, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν θεόν. 38. τῆι δὲ ἐπιούσηι ἡμέραι ἀναστὰς ὁ Πέτρος ὀρθριώτερον καὶ προσευξάμενος μετεκαλέσατο τὸν πατέρα ἡμῶν, ἅμα δὲ καὶ ἡμᾶς, λέγων Σήμερον, ὦ ἀδελφοί, μεγάλη χαρὰ γίνεται ἐν τῶι οὐρανῶι ἐπὶ τῆι θεοδωρήτωι ἀναγεννήσει τοῦ καλοῦ γέροντος Φαύστου. καὶ παραλαβὼν ἡμᾶς ἐξήειμεν κατὰ ἀνατολὰς τῆς πόλεως, ἔνθα ὑπάρχουσιν ὕδατα πολλὰ καὶ καθαρά, καὶ μόνον τὸν πατέρα ἡμῶν λαβὼν ἰδίᾳ, κατηχήσας τε πολλὰ καὶ διδάξας αὐτὸν τὰ περὶ τοῦ θεοῦ καὶ τῆς διὰ σαρκὸς αὐτοῦ πρὸς ἡμᾶς ἐπιδημίας, ἐβάπτισεν αὐτὸν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· καὶ λαβὼν ἄρτον, εὐχαριστήσας καὶ εὐλογήσας μετέδωκεν αὐτῷ τῶν ἁγίων καὶ ἀχράντων καὶ ζωοποιῶν τοῦ Χριστοῦ μυστηρίων. 39. καὶ ἦμεν ὁμοῦ οἱ πάντες ἀγαλλιώμενοι ἐν κυρίῳ ἡμέρας καὶ νυκτὸς ἐπὶ τῇ τοῦ πατρὸς ἡμῶν διὰ τοῦ ἁγίου βαπτίσματος ἀναγεννήσει, ἔτι τε καὶ τὸν θεῖον λόγον παρὰ Πέτρου ἀκροώμενοι. καὶ ποιησάντων ἡμῶν χρόνον ἐπὶ τοαυτό (sic) τινα πᾶσι κατάδηλα γέγονε τὰ καθ' ἡμᾶς, καὶ ἐν τοῖς ἁπάντων ἦμεν στόμασι διαπαντός (sic), καὶ ἐθαύμαζον πάντες ἐπὶ πᾶσι τοῖς συμβεβηκόσιν ἡμῖν, καὶ τὴν τοῦ θεοῦ εἰς ἡμᾶς βοήθειαν ἐπὶ τῶι ἀναγνωρισμῷ ἡμῶν, τοὺς μακρῷ χρόνῳ ἀπ' ἀλλήλων χωρισθέντας καὶ τεθνᾶναι (sic) νομισθέντας [ἐμεγάλυνον]. 40. καὶ τούτου βοωμένου κατὰ πᾶσαν τὴν πόλιν, μαθὼν τὰ καθ' ἡμᾶς ὁ τῆς Ἀντιοχέων ἡγεμών, κατὰ πάντα τὰ συμβεβηκότα τῷ τε πατρὶ ἡμῶν καὶ τῇ μητρί, καὶ ὅτι βασιλικοῦ γένους ὑπάρχουσιν, ἀνήγαγε ταῦτα πάντα ἀκριβῶς τῶι βασιλεῖ Τιβερίῳ. ἀκούσας δὲ ὁ βασιλεὺς οἷα συνέβη Φαύστῳ τῶι ἰδίωι αὐτοῦ συγγενεῖ, ἐκέλευσε τῷ ἡγεμόνι τῆς Ἀντιοχείας τὸ τάχος ἀποστεῖλαι αὐτὸν ἅμα καὶ τῆς μητρὸς ἡμῶν. δεξάμενος δὲ ὁ ἡγεμὼν τὴν τοῦ βασιλέως κέλευσιν, προσκαλεσάμενος τὸν πατέρα ἡμῶν καὶ τὴν μητέρα μετὰ πολλῆς τιμῆς καὶ δόξης . . . .

III.

In codice bibliothecae montis Sinaitici, saeculi fere decimi tertii, plura leguntur quae ad Constitutiones Apostolicas pertinent. Descripsi inde libri VIII. caput 32 et quae sequuntur. Scripturam codicis ita afferam ut quae a textu Cotelerii quemadmodum recognovit doctissimus Ueltzenius differant, verbis latius impressis distinguam.

37. Epit. l. l. καὶ ὁ Πέ. κατηχήσας αὐτὸν εἰρηκώς τε πολλὰ περὶ σωτηρίας, ἐπὶ τέλει δὲ καὶ τοῦτο εἰπών, ὡς ὁ κύρ. -- θεοῦ τοῖς μαθηταῖς ἐντελλόμενος Ὁ πιστεύσας, ἔφη, κ. βαπτ. σωθήσεται, καί Κατὰ -- θέλεις. ἐπεί περ ὁ καιρὸς πρὸς ἑσπέραν ἦν, τροφῆς μεταλαβόντας (al. -ντες) μετὰ τὴν συνήθη εὐχὴν ὁ ὕπνος (al. add. ἡμᾶς) ἐλάμβανε.

38. Epit. CXLII. τῇ δὲ ἐπ. (om. ἡμέρ.) ὀρθρ. πάλιν ἀν. ὁ Πέ. κ. πρ. μετακαλεῖται σὺν ἡμῖν τὸν πατ., καὶ Σήμερ. ὦ ἀδ. λέγει, μεγάλη -- ἔνθα ἦν ὕδ. π. τε καὶ -- πατέρα λαβὼν -- περὶ θεοῦ -- εὐχαριστ. τε καὶ εὐλ. τῶν ἱερῶν αὐτῷ κοινωνεῖ μυστ.

39. Epit. l. l. -- ὁμοῦ πάντες -- νύκτα τε καὶ μεθ' ἡμέραν ἐπί τε τῇ τ. πατρ. διὰ τ. θείου πνεύματος ἀναγ. καὶ τῇ ἀκροάσει τῶν Πέτρου λογίων. χρόνον οὖν τινὰ ἐπὶ τὸ αὐτὸ διαγαγόντων ἡμῶν πᾶσι δῆλα κατέστη -- στόμασι, καὶ πά. ἐθαύμ. -- ἐπὶ τῷ ἀν. ἡμῶν ἐμεγάλυνον (τοὺς μακρῷ usque νομισθ. om.)

40. Epit. CXLIII. τῆς φήμης οὖν πανταχόσε διαθεούσης, ὁ τῆς Ἀντ. ἡγ. πά. τὰ συμβ. ἐπί τε τῷ πατρὶ καὶ μητρὶ γνούς, καὶ ὅτι Καίσαρι κατὰ γένος προσήκουσιν, ἀναφέρει ταῦτα τῷ Τιβ. καὶ ὁ βασ. ἀκούσας κελεύει τὸ τάχ. ἀναπεμφθῆναι αὐτοὺς εἰς Ῥώμην. ὃ καὶ γέγονε, καὶ μετὰ πολλ. τιμῆς καὶ δωροφορίας ὁ ἡγεμὼν ἐξ Ἀντιοχείας πρὸς τὸν Καίσαρα Τιβέριον αὐτοὺς ἀποστέλλει.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΔΙΑΤΑΞΙΣ ΚΑΝΟΝΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ.

Οἱ (plura praecedunt apud Cot. et Ue.) *πρώτως προσιόντες τῷ μυστηρίῳ τῆς εὐσεβείας διὰ τῶν διακόνων προσαγέσθωσαν τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις, καὶ τὰς αἰτίας ἐξεταζέσθωσαν οὗ χάριν προσῆλθον τῷ κυριακῷ λόγῳ. οἱ δὲ προσενέγκαντες μαρτυρείτωσαν* (Cot. add. *αὐτοῖς*) *ἀκριβώσαντες τὰ κατ' αὐτούς. ἐξεταζέσθω δὲ ἀκριβῶς ὁ τρόπος καὶ ὁ βίος, καὶ εἰ δοῦλοί εἰσιν ἢ ἐλεύθεροι.* 2. *Καὶ ἐὰν ᾖ τις δοῦλος, ἐρωτάσθω ὁ δεσπότης αὐτοῦ εἰ μαρτυρεῖ αὐτῷ· εἰ δὲ μή, ἀποβαλέσθω, ἕως ἂν ἄξιον ἑαυτὸν ἐπιδείξῃ τῷ δεσπότῃ· εἰ δὲ μαρτυρεῖ αὐτῷ, προσδεχέσθω. ἐθνικοῦ οἰκέτης διδασκέσθω εὐαρεστεῖν τῷ δεσπότῃ, ἵνα μὴ βλασφημεῖται ὁ λόγος.* 3. *Εἰ μὲν οὖν ἔχει γυναῖκα ἢ ἡ γυνὴ ἄνδρα, διδασκέσθωσαν ἀρκεῖσθαι ἑαυτοῖς· εἰ δὲ ἄγαμοί εἰσι, μανθανέτωσαν μὴ πορνεύειν ἀλλὰ γαμεῖν ἐν νόμῳ. εἰ δὲ ὁ δεσπότης αὐτοῦ πιστὸς ὢν καὶ εἰδὼς ὅτι πορνεύει, οὐ δίδωσιν αὐτῷ γυναῖκα ἢ τῇ γυναικὶ ἄνδρα, ἀφοριζέσθωσαν.* 4. *Ἐάν* (Cot. add. *δέ*) *τις δαίμονα ἔχῃ, διδασκέσθω μὲν τὴν εὐσέβειαν, μὴ προσδεχέσθω δὲ εἰς κοινωνίαν πρὶν ἂν καθαρισθῇ· εἰ δὲ θάνατος κατεπείγει, προσδεχέσθω.* 5. *Εἴ τις πορνοβοσκός, ἢ παυσάσθω* (Cot. add. *τοῦ*) *μαστροπεύειν ἢ ἀποβαλέσθω* (sequuntur plura apud Cot.). *τῶν ἐπὶ σκηνῆς ἐάν τις προσείη* (sic) *ἀνὴρ ἢ γυνὴ ἢ ἡνίοχος ἢ μονομάχος ἢ σταδιοδρόμος ἢ λουδεμπιστὴς* (codex *-στῆς*) *ἢ ὀλυμπικὸς ἢ χοραύλης ἢ κιθαριστὴς* (seq. alia apud Cot.) *ἢ αὔλησιν ἐπιδεικνύμενος, ἢ παυσάσθωσαν ἢ ἀποβαλέσθωσαν.* 6. *Στρατιώτης προσιὼν διδασκέσθω μὴ ἀδικεῖν, μὴ συκοφαντεῖν, ἀρκεῖσθαι δὲ τοῖς διδομένοις ὀψωνίοις· πειθόμενος προσδεχέσθω, ἀντιλέγων δὲ ἀποβαλέσθω. ἀρρητοποιός, κίναιδος, βλάξ, μάγος, ὀχλαγωγός, ἐπαοιδός, λῶταξ, περιάμματα ποιῶν, οἰωνιστής, συμβολοδείκτης, παλμῶν ἑρμηνεύς, φυλαττόμενος ἐν συναντήσει λωβὰς* (sic) *ὄψεων ἢ ποδῶν ἢ ὀρνίθων ἢ γαλῶν ἢ ἐπιφωνήσεων ἢ παρακροαμάτων συμβολικῶν, χρόνῳ δοκιμαζέσθωσαν· δυσέκνιπτος - - ἀποβαλέσθωσαν.* 7. *Παλλακὴ - - ἀποβαλέσθω - - εἰ μὲν δούλη ἐστίν - - εἰ δὲ ἐλευθέρα, γαμείτω - - ὁ* (pro *εἰ*) *δὲ μή, ἀποβαλέσθω.* 8. *Ἑλληνικοῖς - - μετατιθέσθω ἢ ἀποβαλέσθω - - ἱπποδρομικοῖς ἀγῶσιν - - ἀποβαλέσθω.* 9. *Ὁ μέλλων - - εὔνοιαν* (codex *ἄνοιαν*) *ἔχῃ* (Cot. add. *περὶ τὸ πρᾶγμα*) - - 10. - - *λαϊκὸς εἴη.* 11. *Πᾶς πιστὸς - - πρὸ τοῦ τὸ ἔργον χεῖρον ἐπιτελέσαι - - εἰ δέ τις λόγος κατηχήσεως γίνεται, προτιμησάτωσαν - - εὐσεβείας.* 12. *Πιστὸς ἢ πιστὴ - - ἐπιστολαῖς διετάξαμεν.*

Inscriptum est *Πέτρου καὶ Παύλου τῶν ἁγίων ἀποστόλων διάταξις.*[1])

XXXIII, 1. *Ἐγὼ Πέτρος καὶ* (Cot. add. *ἐγὼ*) *Παῦλ. διατάσσομεν ἐργάζεσθαι τοὺς λαοὺς πέντε ἡμέρας, σάββ. δὲ κ. κυρ. σχολαζέτωσαν* (Cot. add. *ἐν*) *τῇ ἐκκλησίᾳ - - δημιουργ. τρόπον ἔχειν - -* 2. *Τὴν - - ὁ συγχωρήσας* (Cot. add. *ἢ*) *καὶ ἀναστήσας - - πνεύματος τὴν δοθεῖσαν - - ἐν αὐτῇ* (Cot. add. *τὴν*) *ἀπροσδόκητον χάριν τοῖς ἀνθρώποις δεδόσθαι - - λόγον* (Cot. add. *Ἰησοῦν Χριστὸν*) *ἐκ - - τὴν τῶν ἁγίων θεοφανίων ἑορτὴν - -* 3. *Τὰς ἡμέρας - - ἠξίωσαν ἁγίου.*

XXXIV, 1.[2]) *Εὐχὰς ἐπιτ. ὄρθρως πρώτῃ ὥρᾳ τρίτῃ τε καὶ ἕκτῃ κ. ἐνν. καὶ ἑσπέρας καὶ ἀλεκτοροφωνίας. ὄρθρον μὲν* (Cot. add. *εὐχαριστοῦντες*) *ὅτι ἐφ. ἡμᾶς* (Cot. *ὑμῖν*, non Ue.) - - *νύκταν - - ὅτι ἐν αὐτῇ ἀπόφασιν ἀπὸ Πιλάτου ἔλαβεν ὁ κύριος - - ἐσταυρώθη ὁ Χριστός· ἐννάτῃ* (Cot. add.

[1]) Proximus titulus in tabula (*πίναξ*) est: *περὶ τοῦ φυλάττειν ἕκαστον τάξιν καὶ λειτουργίαν.*

[2]) Nulla textui inscriptio praeposita est.

δέ) ὅτι πάντα ἐκεκίνητο - - ἐφ' ἑσπέρας δὲ εὐχ. ὅτι ἡμῖν (Cot. *ὑμῖν*, Ue. om.) *ἔδωκεν ἀνάπαυσιν* (Cot. add. *τῶν*) *καθημερινῶν - - τῆς παρουσίας - -* 2. *Εἰ μὴ - - προσιέναι - - φευκτέος - - οὕτως καὶ οἱ ἐναγεῖς μαίνουσιν.* 3. *Εἰ δὲ μήτε ἐν οἴκῳ ἅμα μήτε ἐν ἐκκλ.* (Cot. add. *συναθροισθῆναι*) *δυνατόν, ἕκαστος* (Cot. add. *παρ'*) *ἑαυτῷ ψαλλέτω - - ἐὰν ὦσι* (ita recte etiam Ue. contra Cot. *εἰσί*) *φησὶν ὁ κύριος* (item Ue., Cot. om.) - - 4. *- - κατ' οἰκ. προσευχέσθω* (ab hoc *προσευχ.* scriba transiluit ad alterum) - - 5. *- - δούλοις* (ita recte Ue., Cot. *δοῦλοι*) - - *ἀποβαλέσθωσαν.* Jam sequitur caput XLII. nullo titulo aut nota interposita. *Ἐπιτελείσθω* (Cot. add. *δὲ*) *τρίτα - - ἐν ψαλμ.* (Cot. add. *καὶ ἀναγνώσεσι*) *καὶ προσευχαῖς - - καὶ τριακοστὰ - - ὑπ. μνείας αὐτῶν διδόσθω ἐκ τ. ὑπ. αὐτοῖς εἰς ἀν. αὐτῶν.*

XLIII. XLIV. 1. *Ἐν δὲ ταῖς μνήμαις - - πρεσβύτεροι γὰρ - - λέγει γὰρ - - οἶνον* (Cot. add. *δὲ*) *μὴ - - οὐ* (Cot. add. *μὴ*) *δύνωνται - - μετὰ τὸν θεὸν - - οὐχ ἵνα μὴ πίωσιν· ὅλως γὰρ οὐκ* (ita etiam Ue., Cot. *καί*) - - *μὴ πίνειν οἶνον εἰς - - τοῦ μεθύσου.* 2. *- - τὸ ὄνομα κυρίου τοῦ θεοῦ ἡμῶν Ἰησ. Χρ. - - εἴρηκε Τίνι - - οὐ τῶν χρονιζ. ἐν οἴνῳ καὶ κατασκοπούντων π. π. γίν.* XLV. *- - προσίενται - - ἐφ' ἑαυτοῖς* - - XLVI., 1. *Τοῦτο δὲ κοινῇ πᾶσι - - τῇ αὐτῷ δοθείσῃ τάξει - - ὁ ἀκούων γὰρ ὑμῶν, φησὶν ὁ κύριος, ἐμοῦ - - καὶ ὁ ἐμὲ ἀθετῶν* etc.

IV.

Apud Fabricium Harlessiumque Bibliothecae Graecae tomo XII. legitur „Leonis Allatii diatriba de Georgiis, hinc inde contracta, cum notis Fabricii et G. C. Harless.“ Ibi pag. 30. de Georgio monacho nomine Hamartoli claro haec scripta sunt: „Chronicon et ipse scripsit ab exordio mundi ad Michaelem Theophili filium (imperio praefuit ab a. C. 841. ad 867.), quando ipse vitam agebat, ex variis et diversis chronographis et interpretibus sacris contextum; historia quidem non admodum opulentum, sed ad firmanda fidei capita dissertationibus et sanctorum patrum auctoritatibus longiusculum. Pleraque sunt in eo quae in Cedreno, Theophane, Glyca aliisque iisdem pene verbis ac sententiis, paucissimis tamen exceptis descripta: ex hoc autem illos veluti e fonte suo, cum posteriores sint, hausisse nemo ambiget. Historiam ad aliorum scriptorum loca obscura et ardua explananda apprime necessariam nos e Graeca lingua multis abhinc annis vertimus in Latinam. Quae utinam aliquando bono reipublicae litterariae lucem videat!“ (Nota editorum ad haec sic habet: „Nec dum, quod dolendum, lucem vidit, neque Allatio neque alio editore, licet manu exarata in variis bibliothecis ut Caesarea, apud Lambec. VIII. p. 462.“)

Haec quo jure dicta et adnotata sint, apparebit ex aliquot eius chronici exemplis, desumptis ex codice Coisl. 305. saeculi fere decimi (ipse chronici auctor vixit nono saeculo), collato passim cod. Reg. sive Imper. 1706. aliquot saeculis recentiore. Primo loco quae dabimus, eo gratiora theologis fore spes est quum maximam partem ex Clementinis hausta esse appareat. Conferenda autem sunt cum iis quae Cedrenus utpote a Georgio Hamartolo mutuata habet editionis Parisinae pag. (205.) 206 sqq. (edit. Bonn. pag. 360 sqq.)

Μετὰ δὲ Κλαύδιον ἐβασίλευσε Νέρων (1706. add. *ὁ*) *υἱὸς αὐτοῦ ἔτη ιδ'·* (1706. addita habet: *ὃς πονηρότατος καὶ λάγνος ὢν τὴν μητέρα καὶ τὴν μνηστὴν ἀνελὼν εὐνοῦχον ἔγημεν· οὗτος ἀνεῖλε τοὺς ἀποστόλους Πέτρον καὶ Παῦλον* etc.) *ἐφ' οὗ Σίμων ὁ μάγος ἐλθὼν ἐν Ῥώμῃ καὶ πολλὰ σημεῖα διὰ γοητείας καὶ φαντασίας τινὰς ἐπιτελῶν* (1706. *ἐκτελῶν*) *καὶ ἑαυτὸν θεὸν ὀνομάζων. καὶ τοῦ μεγάλου Πέτρου τὴν Ῥώμην τότε καταλαβόντος καὶ πρὸς τὸν μάγον ἀπελθόντος εὗρε κύνα παμμεγέθη δεδεμένον ἁλύσεσιν ἐν τῷ πυλῶνι· ὃν ὁ Σίμων δεσμήσας ἐκώλυσεν* (1706. *ἐκώλυεν*) *πάντας οὓς οὐκ ἤθελε πρὸς αὐτὸν εἰσιέναι. καὶ τοῦτο ἦν πρῶτον θαῦμα τῷ* (1706. add. *Πέτρῳ τῷ*) *μέλλοντι πρὸς Σίμωνα εἰσέρχεσθαι. ὁ δὲ Πέτρος ἰδὼν τὸν κύνα οὕτω μέγαν καὶ ἀπηγριωμένον, καὶ μαθὼν ὅτι πολλοὺς ἀνεῖλεν ἐπιχειρήσαντας εἰσελθεῖν πρὸ τῆς ἐπιτροπῆς Σίμωνος, κρατήσας ἔλυσεν αὐτὸν λέγων Εἴσελθε πρὸς Σίμωνα καὶ εἰπὲ αὐτῷ ἀνθρωπίνῃ φωνῇ Πέτρος ὁ δοῦλος Χριστοῦ εἰσελθεῖν σε θέλει. καὶ τοῦ κυνὸς εὐθὺς δρομαίου εἰσελθόντος καὶ οὕτω λαλήσαντος κατεπλάγησαν οἱ μετὰ Σίμωνος λέγοντες Τίς ἐστι Πέτρος, καὶ τίς ἡ τοσαύτη δύναμις αὐτοῦ; πρὸς οὓς φησὶν ὁ Σίμων Τοῦτο ὑμᾶς μὴ ξενιζέτω· ὅπερ κἀγὼ ποιήσω· καὶ προσκαλεσάμενος τὸν κύνα καὶ ὡσαύτως προστάξας εἰπεῖν ἀνθρωπίνῃ φωνῇ τῷ Πέτρῳ εἰσελθεῖν. καὶ τοῦτο ποιήσας πάλιν ὁ κύων, εἰσῆλθε Πέτρος πρὸς Σίμωνα· καὶ συμβαλὼν μετ' αὐτοῦ Σίμων εἰς θαυματουργίας, ἐνίκησε Πέτρος ἰάσεις ποιῶν, καὶ πολλοὶ πιστεύσαντες ἐβαπτίσθησαν. καὶ ἦν ἐν τῇ Ῥώμῃ ταραχὴ πολλὴ* (1706. *μεγάλη*) *καὶ σύγχυσις ἕνεκεν Πέτρου καὶ Σίμωνος, ὅτι κατέναντι ἀλλήλων ἐποίουν* (1706. add. *τὰ*) *θαύματα. ἅπερ μαθὼν Ἀγρίππας ὁ ἔπαρχος ἀνήγαγε τῷ βασιλεῖ Νέρωνι λέγων Δύο τινές εἰσιν ἄνδρες ἐν τῇ πόλει θαύματα ποιοῦντες ἀπέναντι ἀλλήλων· ὁ μὲν λέγει ἑαυτὸν εἶναι τὸν Χριστόν· ὁ δὲ ἄλλον εἶναι τὸν καὶ* (1706. om.) *ἐσταυρωμένον Ἰησοῦν, οὗ* (1706. om.) *καὶ μαθητὴν ἑαυτὸν εἶναι δυσχυρίζεται. οὓς κελεύσας ὁ Νέρων ἀχθῆναι κατενώπιον αὐτοῦ λέγει πρὸς Σίμωνα Σὺ εἶ ὃν λέγουσι Χριστόν; ὁ δὲ φησίν Ἐγώ εἰμι. ὁμοίως δὲ καὶ τὸν Πέτρον ἐπερωτήσας εἰ ἀληθῶς οὗτός ἐστιν ὁ Χριστός, Οὐκ ἔστιν οὗτος, ἔφη Πέτρος, μὴ γένοιτο· ἐγὼ γὰρ ἐκείνου μαθητής εἰμι τοῦ σταυρωθέντος καὶ ἀναστάντος καὶ εἰς οὐρανὸν ἀναληφθέντος. ὁ δὲ Νέρων ὡς τερατολόγους ἀμφοτέρους εὐθὺς ἀτίμως ἐκ προσώπου αὐτοῦ θᾶττον ἐξήλασεν. οἱ δὲ διάγοντες ἐν Ῥώμῃ ἐποίουν ἔτι θαύματα κατέναντι ἀλλήλων. καὶ ὁ μὲν Σίμων προστάξας καὶ ἀχθέντος μεγάλου ταύρου εἶπεν λόγον εἰς τὸ ὠτίον αὐτοῦ,* (1706. *μιᾷ οὖν τῶν ἡμερῶν προστάξοντος τοῦ Σίμωνος ἀχθῆναι αὐτῷ ταῦρον παμμεγέθη, ἐλάλησεν εἰς τὸ οὖς αὐτοῦ*) *καὶ παραχρῆμα* (1706. *παρευθὺς*) *τέθνηκεν ὁ ταῦρος. ὁ δὲ Πέτρος εὐξάμενος καὶ ἀναστήσας αὐτόν, πάντες μᾶλλον ἐθαύμαζον λέγοντες Τὸ ζωογονῆσαι ὑπὲρ τοῦ θανατῶσαι μεῖζόν ἐστι* (1706. add. *τὸ*) *θαῦμα. καὶ μέντοι καὶ ἄλλα σημεῖα πολλὰ ἐποίησαν, καὶ λόγους δογματικοὺς ἐλάλησαν ἀπέναντι ἀλλήλων, οὐ μόνον ἐν Ῥώμῃ ἀλλὰ καὶ ἐν Συρίᾳ πρότερον, ἅτινα Κλήμης ὁ Ῥωμαῖος καὶ πάνσοφός τε καὶ μαθητὴς Πέτρου* (1706. *καὶ πάνσ. μαθ. Πέτρου*) *καὶ συνέκδημος ἐπεξεργαστικώτερον* (1706. *ἐπεργαστικ.*) *διηγησάμενος* (1706. *διηγούμενος*) *οὕτως ἔφη.*

Τοῦ γὰρ Πέτρου[1]) *ποτὲ διδάσκοντος ἐπὶ λαοῦ περὶ τοῦ μόνου θεοῦ, ὁ Σίμων* (1706. *Τοῦ μακαρίου Πέ. τοῦ ἀποστόλου διδάσκοντος τὸν λαὸν σέβεσθαι καὶ προσκυνεῖν τὸν ἐπὶ πάντων μόνον ἀληθινὸν θεόν, ὁ Σίμ.*) *ἔξω τοῦ ὄχλου βοῇ μεγάλῃ χρησάμενος πρὸς τὸν Πέτρον εἶπεν* (1706. *ἔξω τ. ὄχλ. ἑστὼς ἐβόησε Τί*) *Τί ψευδόμενος ἀπατᾶν θέλεις τὸν παρεστῶτά σοι ἰδιώτην ὄχλον, πείθων αὐτὸν θεοὺς μήτε νομίζειν μήτε εἶναι, καίπερ τῶν παρ' Ἑβραίοις βίβλων λεγουσῶν πολλοὺς θεοὺς εἶναι; πλὴν οὖν περὶ οὗ ἔφης θεοῦ, δείξας*

[1]) Cf. ad haec Homil. III, 38.

ἐγὼ μὴ αὐτὸν εἶναι τὸν ἀνώτατον καὶ παντοδύναμον θεόν, καθὸ ἀπρόγνωστός ἐστι καὶ ἀτελὴς καὶ ἐνδεὴς καὶ οὐκ ἀγαθὸς καὶ πολλοῖς ὑποκείμενος πάθεσι κατὰ τὴν ὑμετέραν γραφήν, ἕτερος πάντως περιλείπεται προγνωστικός, τέλειος, ἀνενδεής, ἀγαθός, καὶ παντὸς πάθους ἀπηλλαγμένος. ὃν δὲ σὺ φὴς δημιουργὸν καὶ ὑπέρθεον, τοῖς ἐναντίοις ἀντικείμενος ὑπάρχει.

Αὐτίκα γοῦν ὁ καθ' ὁμοίωσιν[1]) - - *θανάτῳ καταδικάζεται* - - *ἐπεὶ μὴ πανταχοῦ βλέπει ἐπὶ τῇ τῶν Σοδόμων καταστροφῇ, λέγει Καταβὰς ὄψομαι εἰ κατὰ* - - *καὶ τὸ εἰπεῖν περὶ τοῦ Ἀδάμ* - - *μήπως* - - *καὶ φαγὼν ζήσεται εἰς τ. αἰῶνα, ἀγνοοῦντος κ. φθ. ἐστι σύμβολον. ὥσπερ καὶ τὸ Ἐνεθυμήθη* -- *καὶ τὸ Ὀσφράνθη* - - *καὶ τὸ τέλος τῆς ὑπομ. μὴ προειδότος.*

Ὁ δὲ Πέτρος ἔφη πρὸς αὐτόν (1706. *πρ. τὸν Σίμωνα*) *Εἰ τυφλὸς* - - *πῶς ἐντελλόμενος ὁ θεὸς ἐδείκνυεν αὐτῷ λέγων Ἀπὸ δὲ τοῦ*[2]) - - *καὶ ὁ Πέτρος Πῶς* - - *εἶχον ἀνεωγότας* - - *δῆλον ἐντεῦθεν· εἶδεν* (1706. *δῆλον· ἰδοῦσα*) - - *καὶ* (1706. om.) *ὡραῖόν ἐστι τοῦ κατανοεῖσθαι* (1706. *-νοῆσαι*) - - *καὶ ἔδωκε* (1706. add. *καὶ*) *τῷ ἀνδρὶ αὐτῆς μετ' αὐτῆς* (1706. om. *μετ' αὐτ.*). *εἰ οὖν* - - *γνῶσιν εἶχον καλοῦ τε καὶ κακοῦ, ὄψιν δὲ* (1706. *καὶ ὅτι ὄψιν*) *ἕκαστον* (1706. *-στα*) - - *γνῶσιν ἀδιάφθορον παρέσχεν* - - *τυφλοῦ δίκην* (1706. *δίκ. τυφλ.*) - - *καὶ τὸ* (1706. *τὸν*) *πάνυ γνώριμον* - - *οὕτως οὖν καὶ ὁ Ἀδὰμ* - - *διεγέρθησαν* (1706. *διηγ.*)· *τὸ γὰρ Διηνοίχθ. αὐτῶν οἱ ὀφθαλμοὶ* - - *ἐγγενομένην* (1706. *ἐγγινομ.*) - - *παρευθὺς γὰρ* - - *πλήττεται.*

Καὶ ὁ Σίμων φησίν Εἰ πρόγνωσιν εἶχεν[3]) - - *καὶ ὁ Πέτρος* (1706. add. *εἶπεν*) - - *φησὶ πρὸς τὸν* (1706. *φησὶ τῷ*) *Ἀβρ. Γινώσκων γίνωσκε* - - *δουλώσουσιν αὐτῷ* (ita etiam 1706.) *ἔτη γ'* (1706. *τγ'*) - - *ἀποστραφήσονται ὧδε.*[4]) *οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων ἕως τοῦ νῦν. οὕτω δὴ καὶ πρὸς Μωυσέα φησίν Ἰδοὺ σὺ κοιμᾶσαι μετὰ τῶν πατέρων σου, καὶ ἀναστὰς ὁ λαὸς οὗτος ἐκπορνεύσει ὀπίσω θεῶν ἀλλοτρίων τῆς γῆς εἰς ἣν εἰσπορεύεται ἐκεῖ, καὶ ἐγκαταλείψουσί με καὶ διασκεδάσουσιν τὴν διαθήκην μου ἣν διεθέμην αὐτοῖς. καὶ ὀργισθήσομαι θυμῷ καὶ καταλείψω αὐτοὺς καὶ ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, καὶ ἔσται κατάβρωμα, καὶ εὑρήσουσιν αὐτὸν κακὰ πολλά. οἶδα γὰρ τὴν πονηρίαν αὐτῶν, ὅσα ποιοῦσιν ὧδε σήμερον πρὸ τοῦ εἰσαγαγεῖν με αὐτοὺς εἰς τὴν γῆν τὴν ἀγαθὴν ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν δοῦναι, γῆν ῥέουσαν γάλα καὶ μέλι. καὶ φαγόντες καὶ ἐμπλησθέντες ἐγκαταλείψουσί με. Τί δέ; οὐχὶ καὶ Μωυσῆς* (1706. *Μωσ.*) - - *εἰς τὰ ἔθνη πάντα διασπορὰν* - - *ὁ δὲ Μωυσῆς καὶ οἱ* (1706. om.) *ἄλλοι* - - *προήδεισαν* (1706. *προεγίνωσκον*)· *πῶς* - - *τὰ ἐσόμενα* (1706. *τὰ μέλλοντα*) - - *καὶ μέν* (1706. *μέντοι*) *γε καὶ τὸ Ἐπείραζε τ. Ἀβρ. καὶ τὸ Ὀσφράνθη* (** et 1706. *ὠσφρ.*) *καὶ ὅσα τοιαῦτα, συγκαταβατικῶς* (1706. *σωματικῶς*) *διὰ* - - *Μὴ φάγομαι* - - *πίομαι; ὅθεν ὁ ἐξ αὐτοῦ* (1706. *ἐξ αὐτ. ὁ*) *πρὸ τῶν* - - *ὁ πατὴρ ὑμῶν ὁ οὐρ. ὅτι χρ. τούτ. πάντων* (1706. *ἁπάντ.*) *πρὶν αὐτὸν αἰτήσησθε* (1706. *-σασθαι*). *καὶ τοῖς* (1706. add. *μὴ*) *νομίζουσιν ὅτι μὴ* (1706. om.) *πάντα* - - *ἀποδώσει* (1706. add. *ὑμῖν*) *ἐν* - - *διηγόρευεν* (1706. *-ρευσεν*) *ὁ θεός Ἔλεος* (1706. *-ον*) *θέλει* (1706. *θέλων*) *καὶ οὐ θυσίας* (1706. *-ίαν* ut

[1]) Incipit h. l. Homil. III, 39. Convenit autem haec textus pars tantopere cum Cedreni libro ut ea tantum exscribere praestet quae aliquo modo differant vel ad corrigendum Homiliarum textum valere videantur.

[2]) Cf. ad haec Homil. III, 42.

[3]) Cf. ad haec Hom. III, 42.

[4]) Sequentia usque dum est *Τί δέ;* in Cedreno non leguntur; desunt etiam in cod. Imp. 1706. Prima: *οὔπω-τοῦ νῦν* cum Homil. l. l. conveniunt. Cetera cf. cum Deuter. 31, 16—21.

videtur) - - *οἰκτίρμονες ὡς ὁ πατὴρ ὑμῶν* (nec 1706. add. *ὁ*) *οὐράνιος. διὰ δὲ τοὺς ἀπατ.* (1706. add. *καὶ ὑπολαμβάνοντας*) *πολλοὺς* - - *ἵνα γινώσκωσι* (1706. *-σκουσι*) *σὲ* - - *πρὸς τὸν ἐπερωτήσαντα* (1706. *ἐρωτ.*) *Ποία ἐστὶ πρὸ* (corrige *πρώτη?*) *πάντων* (1706. *ἐστ. πρώτη*, omisso *πάντων*) *ἐντολή, ἀπεκρίθη* (1706. *ἔφη*) *Πρώτη πάντων ἐντολή ἐστιν Ἄκουε Ἰσραήλ, κύριος* - -.

Ὁ δὲ Σίμ. συν. ὅτι Πέτρος αὐτὸν (1706. *ἑαυτὸν*) *συνάγει* (1706. add. *ἐν*) *ταῖς γραφαῖς εἰς* - - *οὕτως ἦν ἐξησκημένος ἐν ταῖς μαγείαις καὶ μεθοδείαις τοῦ σατανᾶ, ὡς* (1706. *ἐν ταῖς διαβολικαῖς ἐνεργείαις καὶ μαγ. κ. μεθ. ὡς*) - - *σχεδὸν ἐπὶ ταῖς* - - *ἵπτατο καὶ ἐκ* - - *δράκων ἐγίνετο καὶ εἰς ἕτερα ζῷα μετεμορφοῦτο· διπρόσωπος ἐγίνετο καὶ εἰς* (1706. om. *ἕτερα ζῷα* usque *κ. εἰς*) *χρ. μετεβάλλετο· θύρας* - - *ἤνοιγε καὶ σιδηρᾶ* (1706. *σιδήρων*) *δεσμά* - - *εἰδεῶν* (1706. *ἰδεῶν*) *παριστῶν* (1706. *παρίστα*) - - *φερόμενα* (1706. *φέρεσθαι*) *πρ. ὑπ. ἐποίει βλέπεσθαι* (1706. om.) - - *τῶν τεθνηκότων* - - *πολλοὺς δὲ γόητα* - - *πειρωμένους διαλλάξας* - - *διαφόροις καὶ δυσιάτοις* - - *πλεῖστα* (1706. add. *εἰργάσατο*) *καθυπουργ. αὐτῷ* (1706. *αὐτῶν*) *τῶν δαιμ. εἰργάζετο* (1706. om.)· *κἀντεῦθεν οὐ μόνον ἑαυτὸν εἰς ἑτέρας μορφὰς ἀνθρώπων τε καὶ ἀλόγων, ὡς ἔφην, μετεσχημάτιζεν, ἀλλὰ καὶ οὓς ἤθελεν οὕτως ἐποίει. καὶ γοῦν* - - *περιθεὶς τῷ μαθητῇ Πέτρου Φαύστῳ* (1706. *Φαύστ. τῷ μαθ. Πέ.*) - - *πρὸς Πέτρον ἐνώπιον ἡμῶν ἔχων τὴν μορφὴν Σίμωνος, καὶ* (1706. pro *ἐνώπιον* usque *καί* habet *ἐδιώκετο*) *ὑπὸ πάντων ἀποσειόμενος καὶ μισούμενος* (1706. om. *ἀποσ. κ. μισ.*) *διὰ τ. ἀν. εἰδέαν τοῦ Σίμωνος* (1706. *ἰδέαν ἣν περιέκειτο*) *ἐμβλέψας* (1706. add. *δὲ*) *ὁ Πέ.* - - *ἰδὼν* (1706. add. *τοῦτον*) *λυπούμενον καὶ δάκρυσι συνεχόμενον ἔφη* - - *παραλλαγὴ* (1706. *ὑπαλλαγὴ*) - - *γέγονε διὰ κακομηχανίας καὶ σατανικῆς ἐπινοίας τοῦ γόητος* (1706. om. *διὰ* usque *γόητος*)· *ὑπὸ γὰρ Καίσαρος ζητούμενος* - - *ἵνα* (1706. add. *τοῦ*) *συσχ. κ. ἀναιρ. σου* (1706. om.) *λύπην* - - *λαοπλάνου* (1706. add. *καὶ ἐχθροῦ τῆς ἀληθείας*) *Σίμωνος* - - *ἰδίαν σου* (1706. om.) *παρέξει* (1706. add. *σοι*) *τάχιον· ὅπερ δὴ καὶ* (1706. add. *σὺν τῷ λόγῳ*) *γέγονεν* (1706. add. *πάντων ἡμῶν θεωρούντων*). *καὶ ταῦτα μέντοι* - - *γεγράφηκεν, ὡς ἔφην, Κλήμης ἐν Συρίᾳ* (1706. om. *ἐ. Συρ.*) *λεχθῆναι καὶ διαπραχθῆναι* (1706. add. *ἐν Συρ.*).

Ἐν δὲ τῇ Ῥώμῃ μετὰ τὸ - - *ὡς εἴρηται* - - *Σὺ ἔφης* - - *καὶ ἰδὼν αὐτὸν Πέτρος* - - *ἀπέθανεν. τοῦ δὲ μιαροῦ αὐτοῦ σώματος τεθέντος ἔνθα καὶ πέπτωκεν, ἐκλήθη ὁ τόπος ἔκτοτε Σιμώνιον* (1706. *ὁ δὲ τόπος ἔκτοτε ὁ δεξάμενος αὐτοῦ τὸ βέβηλον καὶ παμμίαρον σῶμα ἐκλήθη Σιμώνιον*). *περὶ οὗ καὶ ἐν ταῖς ἀποστολικαῖς διατάξεσιν*[1]) *ὁ αὐτὸς* (1706. *ὁ μέγας ἀπόστολος*) *Πέτρος* - - *ἐσκύλευσε* - - *ἐμπειρίας καὶ ἐνεργείας* - - *διαστρέφειν τὸν λόγον* (1706. *λαὸν*) *τ. θε. συμπαρ.* (1706. add. *μοι*) - - *Ζακχαίου τοῦ ποτὲ τελώνου κ. Βαρν.* (1706. add. *καὶ Νικήτα*) *καὶ Ἀκύλα ἀδελφῶν Κλήμεντος τ. Ῥωμ.* (1706. add. *ἐπισκόπου τε καὶ πολίτου*) - - *διαλεχθεὶς αὐτῷ εἰς τὸν περὶ τοῦ εὐαγγελίου λόγον καὶ τῶν προφ. καὶ* - - *ἡττήσας* (1706. *ἥττησα*) *αὐτ. δυν. τοῦ κυρίου* (1706. add. *ἡμῶν Ἰησ. Χρ.*) *καὶ εἰς ἀφ. καταβαλὼν φυγ. κατέστησα, εἰς τὴν Ἰταλίαν* - - *πολλοὺς ἀνατρέπων* - - *τά τε ἔθνη ἐκστάνων* (1706. *ἐξιστάνων*) - - *ἐνεργείᾳ* (1706. *-γείαις*)· *ὡς* (1706. om.) *καί ποτε* - - *πάντων δὲ θαυμαζόντων* - - *ὑπὸ δαιμόνων* (1706. *-νίων*) *εἰς τοὺς* (1706. om.) *οὐρανοὺς* - - *ἐπιχορηγήσειν* (1706. *-γεῖν*)· *τῶν δὲ δήμων ἐπευφ. αὐτὸν* (1706. om.) - - *ἱκέτευον* (1706. *-τευσα*) - - *καταρράξαι* (1706. *καταράξ.*) *τὸν λυμαιῶνα* (1706. *λυμεῶνα*) *καὶ τὴν ἰσχὺν τῶν δαιμόνων περικόψαι. καὶ* (1706. om.) *ἀτενίσας* (1706. add. *οὖν*) *τῷ Σίμ. εἶπον Εἰ* - - *μετὰ ἦχου* - - *καὶ* (1706. om.) *τοῦ ὄχλου* - - *ὃν* (1706. add. *ὁ Πέτρος*) - - *ἀπέσβη* (1706. *ἀπεσβέσθη*) - - *ἡμέραν ἐκείνην τοῦ* - - *οἱ Ῥωμαῖοι.*

[1]) Cf. Constit. Apost. VI, 7, 8, 9.

Quae iam sequuntur in chronico Georgii Hamartoli, ea apud Cedrenum non leguntur. *Σάββατον γὰρ ἦν ἐν ᾧ καὶ προσευχὴ καὶ νηστεία τοῖς πιστοῖς. ἔθος γὰρ ἦν τὸ προσεύχεσθαι τὴν ἐκκλησίαν ὑπὲρ τῶν διδασκάλων ἀγωνιζομένων ἢ θλιβομένων, ὡς ἐν ταῖς πράξεσι τῶν ἀποστόλων γέγραπται ὅτι προσευχὴ ἦν ἐκτενὴς γενομένη* (1706. *γινομ.*) *ὑπὸ τῆς ἐκκλησίας ὑπὲρ τοῦ Πέτρου. ὡς οὖν ἐν* (1706. om.) *ἐκείνῃ τῇ ἡμέρᾳ τοῦ σαββάτου γενομένης τῆς Χριστοῦ νίκης καὶ τῆς πτώσεως τοῦ ἀντιχρίστου* (codex Coisl. *ἀντιχρήστου*) *Σίμωνος, ἐπιφανερῶς* (ita 1706; Coisl. *-ροῖς*) *σάββασι τὸ μνημόσυνον ἐκτελοῦντες Ῥωμαῖοι νηστεύουσι καὶ συνάξεις φαιδρὰς ποιοῦσι, μέχρι νῦν τὴν παράδοσιν ἐκείνην φυλάττοντες. καὶ γὰρ καὶ ἄλλαι τινὲς ἐκκλησίαι διάφορα παραφυλάττουσιν ἔθη, καθὼς οἱ τὰς ἐκκλησιαστικὰς ἱστορίας* [*γραψάμενοι?*] *ἀνεγράψαντο. παρὰ Σκύθαις μὲν γάρ, φησίν, αἱ πόλεις πᾶσαι ἐπίσκοπον ἔχουσιν ἕνα καὶ μόνον. παρὰ δὲ Κυπρίοις καὶ Ἄραψιν καὶ ἐν ταῖς κώμαις εἰσὶν ἐπίσκοποι. ὥσπερ οὖν καὶ παρὰ τοῖς ἐν Φρυγίᾳ Ναυατιανοῖς καὶ Μοντανισταῖς καὶ παρὰ μὲν τῇ ἐκκλησίᾳ Ῥώμης ἑπτὰ μόνον διάκονοι γίνονται· παρὰ δὲ πᾶσι τοῖς ἄλλοις ἀδιάφορος ὁ τούτων ἀριθμός ἐστι. καὶ ἐν Ῥώμῃ πάλιν ἅπαξ μὲν* (1706. om.) *τοῦ ἐνιαυτοῦ λέγεται τὸ ἀλληλούϊα, ἐν τῇ πρώτῃ τοῦ πάσχα ἡμέρᾳ, καὶ οὐδεὶς ἐπ' ἐκκλησίας διδάσκει ποτέ, οὐδ' αὐτὸς ὁ ἐπίσκοπος. ἐν δὲ Ἀλεξανδρείᾳ διδάσκει μὲν ὁ ἐπίσκοπος ἐπ' ἐκκλησίας, τῶν δὲ εὐαγγελίων ἀναγινωσκομένων οὐκ ἀνίσταται τοῦ θρόνου. καὶ τὴν τεσσαρακοστὴν τῶν νηστειῶν οἱ μὲν ἑβδομάδας ς' νηστεύουσιν, ὡς οἱ* (1706. om.) *ἐν τῷ Ἰλλυρικῷ καὶ Λιβύῃ καὶ Αἰγύπτῳ καὶ πάσῃ τῇ δύσει καὶ Παλαιστίνῃ· ἐν δὲ* (1706. add. *τῇ*) *Κωνσταντινουπόλει καὶ πέριξ ἄχρι Φοινίκης ἑβδομάδας ζ' νηστεύουσιν· ἄλλοι δὲ τρεῖς μόνας ἡμέρας ἐν ταῖς ἓξ ἢ ἑπτὰ σποράδην νηστεύουσιν, ἕτεροι δὲ τρεῖς ἑβδομάδας ἐφεξῆς πρὸ τοῦ πάσχα συνάπτουσιν·* (1706. addit *ἄλλοι δὲ δύο, ὡς οἱ τὰ Μοντανοῦ φρονοῦντες*) *ἔν τισι δὲ πόλεσι τῆς Αἰγύπτου πρὸς ἑσπέραν ἠριστηκότες τῶν μυστηρίων μεταλαμβάνουσι. καὶ ταῦτα μὲν ὁ Σωκράτης*[1]) *ἱστόρησεν ὡς εἰκὸς τότε φυλαττόμενα πάντα· νῦν δὲ πλείστη καὶ κατὰ μέρος ἐναλλαγὴ γέγονεν ἐν* (1706. om.) *τοῖς εἰρημένοις* (1706. om.) *ἔθεσιν.*

Ista excipiunt ea quae apud Cedrenum statim post *ἐπίσημον ἄγουσι Ῥωμαῖοι* posita sunt, ad historiam de Simone mago et Petro pertinentia. *Ὁ μέντοι Νέρων ἀκούσας ὅτι πεφόνευται Σίμων ὑπὸ Πέτρου καὶ ἀγανακτήσας ἐκέλευσεν αὐτὸν σταυρωθῆναι. ὁ δὲ Πέτρος, παρακαλέσας τὸν ἔπαρχον ἵνα μὴ ὄρθιος σταυρωθῇ ὡς ὁ κύριος, κατὰ κεφαλῆς ἐσταυρώθη, καθὼς ἠξίωσεν ἐκ πολλῆς μετριοφροσύνης. μετὰ δέ γε τὴν Πέτρου τελευτὴν ἐν τῷ δευτέρῳ ἔτει* (1706. om. *ἐν τ. δ. ἔ.*) *καθώς φησιν Εὐσέβιος, Παῦλος ὁ ἀπόστολος κατὰ μὲν τὴν πρώτην ἀπολογίαν ἐλθὼν ἀπὸ τῆς Ἰουδαίας δέσμιος καὶ ἀπολογησάμενος Νέρωνι ἐπὶ τὴν διακονίαν τοῦ κηρύγματος ἐστάλη* (1706. *ἀπεστάλη*). *κἀντεῦθεν ὡς ἔοικεν τὰς τῶν ἀποστόλων πράξεις ἐπ' ἐκεῖνον τὸν χρόνον Λουκᾶς περιέγραψε, μέχρις ὅτε* (1706. *ὅτου*) *συνῆν τῷ Παύλῳ· καθ' ὃν δὲ καιρὸν ἐμαρτύρησεν, οὐ συμπαρῆν αὐτῷ, τοῦ ἀποστόλου σαφῶς καὶ τοῦτο* (1706. *κ. τ. σαφ.*) *λέγοντος ὅτι οὐδείς μοι ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλειπον* (1706. *-λιπον*)*· μὴ αὐτοῖς λογισθείη. ἣν* (corrigendum videtur ut apud Cedrenum editum est *τήν*, aut alio modo locus sanandus est) *δὴ πρὸς Τιμόθεον δευτέραν ἐπιστολὴν δεσμοῖς κατεχόμενος ἔγραψεν, ὁμοῦ σημαίνων τήν τε προτέραν αὐτῷ γενομένην ἀπολογίαν πρὸς Νέρωνα, ὃν καὶ λέοντα διὰ τὸ ἀπάνθρωπον καὶ θηριῶδες*

[1]) Nonnulla quae huc spectant vide apud Socrat. hist. eccl. V, XXII. Sed non ex uno certo Socratis loco haec omnia exscripta sunt.

τοῦ τρόπου καλῶς ὠνόμασε· καὶ τὴν παρὰ πόδας τελείωσιν ἐπάγει φάσκων Ἐρρύσθην ἐκ στόματος λέοντος. ἀλλὰ καὶ ῥύσεταί με κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον, ὑπεμφαίνων τὸ παραυτίκα μαρτύριον, ὃ καὶ σαφέστερον ἐν τῇ αὐτῇ προσαγορεύει γραφῇ λέγων Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν. ἀπολογησάμενος τοίνυν τὴν πρώτην ἀπολογίαν καὶ αὖθις ἐπὶ τὴν τοῦ κηρύγματος διακονίαν στειλάμενος, εἶτα πάλιν τὸ δεύτερον ἐπιβὰς τῇ Ῥώμῃ δέσμιος, καὶ ὡσαύτως Νέρωνι παραδοθεὶς τὸν διὰ ξίφους τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο μηνὶ Ἰουνίῳ κθʹ. καθ' ἣν ἡμέραν καὶ Πέτρος ἐσταυρώθη, καθάπερ καὶ Μάρκος καὶ Λουκᾶς οἱ εὐαγγελισταὶ καὶ Ἰάκωβος ὁ ἀδελφόθεος. ὁ οὖν Λουκᾶς ἐπὶ ἐλαίας καρποφόρου σταυρωθείς, μὴ εὑρισκομένου ξύλου ξηροῦ πρὸς τὸ γενέσθαι σταυρὸν ἐν τῷ τόπῳ, λαβών τις τὸ σῶμα καὶ μεταξὺ πολλῶν μνημείων θάψας ἄδηλον ἐποίησε τὸν τάφον. τῶν δὲ μαθητῶν ἀναζητούντων μετέπειτα καὶ μὴ εὑρισκόντων αὐτοῦ τὸν τάφον διὰ τὸ πλῆθος τῶν μνημάτων, καὶ προσευξαμένων αὐτῶν (Coisl. *προσευξάμενοι*) *τῇ νυκτὶ* (1706. add. *ἐκείνῃ*) *κουλούρια* (1706. *κουλλούρ.*) *βρέξας* (1706. *ἔβρεξεν*) *ὁ θεὸς ἰατρικὰ ἐπάνω τοῦ τάφου, σύμβολα τῆς ἐπιστήμης αὐτοῦ, δῆλον ἐποίησε τὸν τάφον* (1706. pro *δῆλον* etc. *καὶ ἐκ τούτου τοῦ σημείου γέγονε γνώριμος ὁ τάφος.*) *οὗ τὸ λείψανον Κωνστάντιος υἱὸς Κωνσταντίνου ἀνακομίσας ἐν Κωνσταντινουπόλει κατέθηκεν ἐν τῷ ταφῷ τῶν ἀποστόλων, ὃν περ ὠκοδόμησεν ὁ πατὴρ αὐτοῦ μέγας Κωνσταντίνος* (hoc accentu). Incidunt haec extrema in ed. Cedreni Paris. pag. 212; in editionis Bonnensis pag. 373. Quae vero in codice de Iacobo iusto sequuntur, ea Cedrenus paullo ante (cf. ed. Paris. pag. 205. C; ed. Bonn. pag. 360.) in rem suam convertit, scriptura saepe mutata, omnibusque omissis quae ex Iobi libro aliisque afferuntur. Scripta vero sunt in chronico hunc in modum:

Ὁ δέ γε (1706. *μέγας*) *Ἰάκωβος ἁγνὸς ὑπάρχων ἐκ κοιλίας μητρὸς αὐτοῦ, οἶνον μὲν καὶ σίκερα οὐκ ἔπιεν οὐδὲ ἔμψυχον ἔφαγεν, οὐδὲ βαλανείῳ ἐχρήσατο· τὰ δὲ γόνατα αὐτοῦ ἀπεσκληκότα δίκην καμήλου γεγόνασιν ἐκ τοῦ ἀεὶ κάμπτειν ἐπὶ γόνυ καὶ τῷ θεῷ προσκυνεῖν. ὅθεν διὰ τὴν ὑπερβολὴν τῆς δικαιοσύνης αὐτοῦ καὶ θαυμαστῆς πολιτείας ἐκαλεῖτο δίκαιος καὶ ὀβλίας* (ita Coisl., *ὀβλ.* 1706.), *ὅ ἐστι περιοχὴ τοῦ λαοῦ καὶ δικαιοσύνη. ὅς* (ab hac inde voce cod. 1706. omnia omittit usque verba *ἐπεὶ οὖν αἰδέσιμος καὶ σεβάσμιος*) *γε μεγάλων καὶ θείων ὁράσεων ἀξιούμενος ἑώρακέν ποτε προφανῶς τὸν διάβολον τὴν κατ' αὐτοῦ γενησομένην μανίαν καὶ μιαιφονίαν τῶν Ἰουδαίων ἀπειλοῦντα* (cod. *-λῶν*) *ἐν ἐξαισίῳ καὶ φοβεροτάτῳ σχήματι, περὶ οὗ φησὶν πρὸς τὸν Ἰὼβ*[1]) *ὁ θεός „Ἰδοὺ δὴ ἡ ἰσχὺς αὐτοῦ ἐπ' ὀσφύϊ· ἡ δὲ δύναμις αὐτοῦ ἐπ' ὀμφαλοῦ γαστρός. ἔστησεν οὐρὰν ὡς κυπάρισσον, τὰ δὲ νεῦρα συμπέπλεκται· αἱ πλευραὶ αὐτοῦ χάλκειαι, ἡ δὲ ῥαχὶς αὐτοῦ σιδηρόχυτος. τοῦτό ἐστιν ἀρχὴ πλάσματος κυρίου, πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ. πέποιθεν δὲ ὅτι προσκρούσει Ἰορδάνης εἰς τὸ στόμα αὐτοῦ, ἐν δὲ τῷ ὀφθαλμῷ αὐτοῦ δέξεται αὐτόν. πᾶν δὲ πλωτὸν συνελθὸν οὐ μὴ ἐνέγκωσι βύρσαν μίαν οὐρᾶς αὐτοῦ, καὶ ἐμ* (sic codex) *πλοίοις ἁλιέων κεφαλὴν αὐτοῦ. τίς ἀποκαλύψει πρόσωπον ἐνδύσεως αὐτοῦ; εἰς δὲ πτύξιν θώρακος αὐτοῦ τίς ἂν εἰσέλθοι; πύλας δὲ προσώπου αὐτοῦ τίς ἀνοίξει; κύκλῳ ὀδόντων αὐτοῦ φόβος. τὰ δὲ ἔγκατα αὐτοῦ ἀσπίδες χαλκαῖ· ἐν πταρμῷ αὐτοῦ ἐπιφαύσκεται* (descripsi *ἐπιφάσκ.*) *φέγγος· οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἶδος ἑωσφόρου, ἐκ στόματος αὐτοῦ ἐκπορεύονται λαμπάδες καιόμεναι, καὶ διαριπτοῦνται ἐσχάραι πυρός. ἐκ μυκτήρων αὐτοῦ ἐκπορεύεται καπνὸς καμίνου καιομένης, καὶ πυρὶ ἀνθράκων ἡ ψυχὴ* (cod. *-χὶ*)

[1]) Cf. Iob. cap. XL et XLI. Textus chronici plura habet digna notatione critica.

αὐτοῦ·[1]) φλὸξ δὲ ἐκ στόματος αὐτοῦ ἐξέρχεται. ἐν δὲ τῷ τραχήλῳ αὐλίζεται δύναμις· ἔμπροσθεν αὐτοῦ τρέχει ἀπώλεια. ἔστηκε δὲ ὥσπερ ἄκμων ἀνήλατος. ἐὰν συναντήσωσιν αὐτῷ λόγχαι, οὐθὲν οὐ μὴ ποιήσωσιν· ἥγηται μὲν γὰρ σίδηρον ἄχυρον, χαλκὸν δὲ ὥσπερ ξύλον σαθρόν. καὶ οὐ μὴ τρώσει αὐτὸν τόξον χάλκειον· ἥγηται μὲν πετροβόλον χόρτον. ὡς καλάμη δὲ λογισθείησαν σφυραί· καταγελᾷ μὲν σεισμοῦ πυρφόρου. ἡ δὲ στρωμνὴ αὐτοῦ ὀβελίσκοι ὀξεῖς. ἥγηται μὲν τὴν θάλασσαν ὥσπερ ἐξάλειπτρον, τὸν δὲ τάρταρον τῆς ἀβύσσου ὥσπερ αἰχμάλωτον. οὐκ ἔστιν ἐπὶ τῆς γῆς ὅμοιον αὐτῷ. οἱ γὰρ δοῦλοι τοῦ θεοῦ ἄγγελοι πολλάκις ὀνομάζονται ὑπὸ τῆς θείας γραφῆς διὰ τὸ ἀκούειν αὐτοὺς λόγους παρὰ θεοῦ καὶ ἀναγγέλλειν τοῖς λοιποῖς ἀνθρώποις. φησὶ γὰρ Ἔσδρας Ἀπέστειλεν ὁ θεὸς πρὸς αὐτοὺς τοὺς δούλους αὐτοῦ τοὺς προφήτας· αὐτοὶ δὲ ἐξεμυκτήριζον τοὺς ἀγγέλους αὐτοῦ. ὡσαύτως καὶ περὶ τοῦ προδρόμου λέγει κύριος Οὗτός ἐστιν περὶ οὗ γέγραπται Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου. καὶ οὐ μόνον ἄγγελοι λέγονται οἱ δίκαιοι, ἀλλὰ καὶ θεοί, κατὰ τὸν λέγοντα Ἐγὼ εἶπα Θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες. ἐπεὶ οὖν[2]) αἰδέσιμος καὶ σεβάσμιος καὶ σφόδρα περιβόητος ὑπῆρχεν ὁ ἰσάγγελος Ἰάκωβος, ἑορτῆς γενομένης τοῦ πάσχα καὶ πολλῶν μυριάδων συνελθόντων ἐν τῷ ναῷ τῶν Ἰουδαίων, καὶ τοῦτον ἀνενέγκαντες οἱ ἱερεῖς (in margine γραμματεῖς) ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ διασκεδάσαι βουλόμενοι τὸ κήρυγμα Χριστοῦ, εἶπον μεγάλῃ τῇ φωνῇ Ἀξιοῦμέν σε, δίκαιε, εἰπεῖν τῷ λαῷ ἵνα μὴ πλανῶνται ὀπίσω τοῦ λεγομένου Χριστοῦ· σοὶ γὰρ πάντες πειθόμεθα, γινώσκοντές σε δίκαιον ὄντα καὶ ἀπροσωπόληπτον. ὁ δὲ ἀποκριθεὶς ἔφη Τί με ἐπερωτᾶτε περὶ τοῦ Χριστοῦ, καὶ αὐτὸς καθέζεται ἐν δεξιᾷ τοῦ θεοῦ ἐν τῷ οὐρανῷ. οἱ δὲ παράνομοι ἀρχιερεῖς καὶ Φαρισαῖοι ἔκραξαν Ὢ ὤ (hoc accentu)· καὶ ὁ δίκαιος ἐπλανήθη. καὶ εἶπαν πρὸς ἀλλήλους Κακῶς ἐποιήσαμεν τοιαύτην μαρτυρίαν καθ' ἑαυτῶν ὑπὲρ τοῦ Ἰησοῦ παρασχόντες. καὶ πολλοὶ ἐκ τοῦ λαοῦ ἀκούσαντες ἐπίστευσαν. καὶ δὴ μανέντες οἱ ἐξάγιστοι καὶ τοῦτον κατακρημνίσαντες, κλίνας τὰ γόνατα ὑπὲρ αὐτῶν προσηύχετο. καὶ προσεγγίσας τις τῶν υἱῶν Ῥιχὰβ καὶ ἀκούσας αὐτοῦ λέγει αὐτοῖς Τί ποιεῖτε; ὁ δίκαιος μᾶλλον ὑπὲρ ὑμῶν (1706. ἡμῶν) εὔχεται. καὶ δραμών τις κναφεὺς ἔδωκεν εἰς τὴν κεφαλὴν αὐτοῦ μετὰ τοῦ ξύλου ἐν ᾧ τὰ ἱμάτια ἐκπιέζει (1706. -ζειν εἴωθε), καὶ παραχρῆμα ἐτελεύτησεν ὁ δίκαιος. θάψαντες δὲ αὐτὸν παρὰ τῷ ναῷ ἀνήγειραν αὐτοῦ τὴν στήλην· μετὰ δὲ τὴν μαρτυρίαν αὐτοῦ παρὰ πόδας Ἱερουσαλὴμ πολιορκεῖται. φησὶ γὰρ Ἰώσηππος Ταῦτα δὲ συμβέβηκεν Ἰουδαίοις κατ' ἐκδίκησιν Ἰακώβου τοῦ δικαίου, ὃς ἦν ἀδελφὸς Ἰησοῦ τοῦ λεγομένου Χριστοῦ· ἐπειδή περ δικαιότατον αὐτὸν ὄντα Ἰουδαῖοι ἀπέκτειναν. Οἱ[3]) τοίνυν Ἰουδαῖοι μετὰ τὴν τοῦ κυρίου ἡμῶν ἀνάληψιν ἀπολέμητοι ἔτη μ' διέμειναν, τοῦ Χριστοῦ μακροθυμοῦντος ἐπὶ τῇ παρανομίᾳ καὶ θεομαχίᾳ αὐτῶν, ὅπως γνωσιμαχήσαντες ἐπὶ τῇ τοιαύτῃ πλημμελείᾳ ἰσχυρὰν ποιήσωνται τὴν μετάνοιαν. ὅθεν αὐτοῖς φοβερὰ σημεῖα ἐπεδείκνυε τὴν μέλλουσαν καταλαμβάνειν αὐτοὺς ἅλωσιν προμηνύοντα. ἐν γὰρ τῇ τῶν ἀζύμων ἑορτῇ περὶ ὥραν ἐνάτην τῆς νυκτὸς τοσοῦτον φῶς τὸν ναὸν καὶ τὸν βωμὸν περιέλαμψεν ἐπὶ ὥραν μίαν ὡς δοκεῖν ἡμέραν γενέσθαι. μετὰ δὲ τοῦτο ἐφάνη ἄστρον ὑπὲρ τὴν πόλιν ῥομφαίᾳ παραπλήσιον.

[1]) Ita codex habet sed ut clarum est vitiose. In textu Vaticano legitur: καιομένης πυρὶ ἀνθράκων. ἡ ψυχὴ αὐτοῦ ἄνθρακες.

[2]) Ab his inde rursus cum Coislin. 305. Imper. 1706. facit; item Cedrenus textus rursus conferendus est, cf. ed. Paris. pag. 205. D.

[3]) Quae ab hoc inde loco sequuntur, apud Cedrenum excipiunt eam quam supra vidimus de Luca historiam, desinentem verbis ὁ πατὴρ αὐτοῦ μέγας Κωνσταντῖνος.

Quae apud veteres de epistulis Abgari regis Edesseni et Christi circumferebantur, ea a Cedreno relata sunt historia Christi exposita, cf. ed. Paris. pag. 175; ed. Bonn. pag. 308. A quibus quum satis differat textus chronici, etiam hunc adscribere placet, praemissis iis quae eadem Cedrenus alio nexu (cf. ed. Paris. pag. 191. D; ed. Bonn. pag. 336.) et scriptura passim differente de Tiberii circa Christi honorem studio narrat. Διὸ καὶ Πιλᾶτος (hoc accentu ipse codex) εἰδὼς αὐτοῦ τὸ φιλάληθες καὶ φιλοδίκαιον τὰ τεράστια Χριστοῦ πάντα καὶ τὰ τῆς εὐσεβείας αὐτοῦ δόγματα δι' ἐπιτομῆς ἀνεκοινώσατο αὐτῷ, καθὼς ἱστορεῖ Τερτυλιανὸς ὁ τῶν Ῥωμαϊκῶν νόμων ἐπιστήμων ἐν τῇ ὑπὲρ τῶν Χριστιανῶν ἀπολογίᾳ, διεξιὼν καὶ ὅτι μετὰ θάνατον ἀνεβίωσε καὶ ἤδη παρὰ πᾶσι θεὸς εἶναι πιστεύεται, καὶ ὅτι Τιβέριος καταπλαγεὶς ἀνήγγειλε πάντα ἐπὶ τὴν σύγκλητον. ἡ δὲ οὐ προσήκατο πειθαρχεῖν, νόμῳ παλαιῷ λέγουσα μὴ πρότερον θεοποιεῖσθαί τινα εἰ μὴ ψήφῳ καὶ δόγματι παρ' αὐτῆς ἐγκριθείη. ὁ δὲ τὸν μὲν νόμον τοῦτον ἐδέξατο, ἐκέλευσε δὲ μηδένα ἔμποδον γίνεσθαι τοῦ Χριστοῦ τῷ κηρύγματι, καὶ μέν γε καὶ θάνατον προσηπείλησε τοῖς κατηγορεῖν τολμῶσι τοῦ κηρύγματος. οὕτω γοῦν τῇ θείᾳ Χριστοῦ δυνάμει ἀθρόως ἡ σύμπασα οἰκουμένη τῆς ἱερᾶς (sic) τοῦ κηρύγματος διὰ τῆς τῶν ἀποστόλων διδασκαλίας πεπλήρωται. ἐξ ὧν Θαδδαίου ἐν Ἐδέσσῃ τῇ πόλει κηρύσσοντος τὸν λόγον,[1]) καὶ ὁ ἐκεῖσε τοπάρχης, Ἄβγαρος τοὔνομα, δεινῷ πάθει κατεχόμενος καὶ φθειρόμενος, ἀκούσας τὸ ὄνομα Χριστοῦ καὶ τὰς δυνάμεις συμφώνως ὑπὸ πάντων μαρτυρουμένας, ἱκέτης Χριστοῦ διὰ γραμματηφόρου γίνεται, ἀξιῶν τῆς νόσου τυχεῖν ἀπαλλαγήν, γράψας διά τινος Ἀνανίου ταχυδρόμου εἰς Ἱερουσαλὴμ τάδε. „Ἄβγαρος τοπάρχης Ἰησοῦ σωτῆρι ἀγαθῷ ἀναφανέντι ἐν Ἱερουσαλὴμ χαίρειν. Ἤκουσταί μοι περὶ σοῦ καὶ τῶν σῶν ἰαμάτων ὡς ἄνευ φαρμάκων καὶ βοτάνων ὑπὸ σοῦ γινομένων. ὡς γὰρ λόγος, τυφλοὺς ἀναβλέπειν ποιεῖς καὶ χωλοὺς περιπατεῖν, καὶ λεπροὺς καθαρίζεις καὶ ἀκάθαρτα πνεύματα ἐκβάλλεις, καὶ τοὺς ἐν μακρονοσίᾳ βασανιζομένους θεραπεύεις καὶ νεκροὺς ἐγείρεις. ἅπερ ἀκούσας κατὰ νοῦν ἐθέμην τῶν δύο τὸ ἕτερον· ἢ ὅτι σὺ εἶ ὁ θεὸς ἀπ' οὐρανοῦ καταβάς, ἢ υἱὸς ὑπάρχεις τοῦ θεοῦ ποιῶν ταῦτα. διὰ τοῦτο οὖν γράψας ἀξιῶ ἐλθεῖν σε πρός με (ita codex) καὶ τὸ συνέχον με πάθος θεραπεῦσαι. καὶ γὰρ ἤκουσα ὅτι καταγογγύζουσίν [σου?] Ἰουδαῖοι καὶ βούλονταί σε κακῶσαι· πόλις δέ μοι μικροτάτη ἐστίν, ἥτις ἐξαρκέσει ἀμφοτέροις.“ Ὁ δὲ κύριος ἀναγνοὺς ταῦτα ἀντιγράφει πρὸς αὐτὸν οὕτω. „Μακάριος ὁ πιστεύσας ἐν ἐμοὶ κἂν μὴ ἑώρακέν με. περὶ δὲ οὗ ἔγραψας ἐλθεῖν με πρὸς σέ (ita), δέον ἐστὶ πληρῶσαι πάντα δι' ἃ ἀπεστάλην ἐνταῦθα καὶ ἀναληφθῆναι πρὸς τὸν ἀποστείλαντά με. καὶ οὕτως ἀποστελῶ σοι τινὰ (sic) τῶν μαθητῶν μου, καὶ ἰάσεταί σου τὸ πάθος, καὶ ζωὴν σοὶ καὶ τοῖς σὺν σοὶ παρέξει.“ Ταύταις οὖν ταῖς ἐπιστολαῖς ἔτι καὶ ταῦτα συνῆπτο τῇ τῶν Σύρων φωνῇ Θαδδαίου πράξαντος μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου. Ὁ τοίνυν Ἄβγαρος ἀκούσας τὴν ἐπιστολὴν κυρίου μᾶλλον εἰς πόθον καὶ πίστιν ἐξήφθη μείζονα, καὶ κἂν ἐν εἰκόνι τὸν Χριστὸν μόνον θεάσασθαι λίαν ἐφιέμενος ἀποστέλλει ζωγράφον ὥστε τὸ θεῖον εἶδος ἐκείνου διαχαράξαντα πρὸς αὐτὸν κομίζειν ὡς τάχιστα. τοῦ δὲ διαμαρτῶντος (sic) τοῦ σκόπου διὰ τὴν ὑπερβάλλουσαν τοῦ προσώπου χάριν τε καὶ λαμπρότητα, αὐτὸς τῷ οἰκείῳ προσώπῳ ὀθόνην ἐπιθεὶς ἐναπομάττει τὸ ἑαυτοῦ ὁμοίωμα καὶ ἐκπέμπει τῷ ἐρῶντι τὸ ποθούμενον. Καὶ μέντοι καὶ πρὸ τούτου πάλιν ἱστόρηται ὡσαύτως, ὅτι περ τοῦ κυρίου τεχθέντος ἐν Βηθλεὲμ ὁ τῶν Περσῶν βασιλεὺς εὐφυῆ τινὰ ζωγράφον ἐξέπεμψεν, ὃς τήν τε τοῦ

[1]) Haec rerum coniunctio vulgatae veterum traditioni parum convenit. Ipsum enim Thaddaeum Christus ad Abgarum legasse dicitur.

τεχθέντος καὶ τῆς τεκούσης εἰκόνα διαγράψας πρὸς αὐτὸν ἤγαγεν. εἰ δὲ οὐ πάντα κατὰ τὴν εὐαγγελικὴν ἱστορίαν ἀναγέγραπται, οὐ πάντως παρὰ τοῦτο καὶ ἄπιστα. οὐδὲ γὰρ τἄλλα σημεῖα ἃ ἐποίησεν ὁ Ἰησοῦς ἀθετητέον, πολλά γε ὄντα ὡς μηδὲ χωρεῖν τὸν κόσμον καθ' ἓν γραφόμενα.

V.

BREVIS DE LIBRIS PROPHETARUM COMMENTATIO

EX CELEBRI CODICE VENETO UNCIALIBUS LITTERIS OCTAVI VEL NONI SAECULO SCRIPTO.

ΕΝ ΤΩ ΑΜΩΣ.

Α. Ἡ μετὰ πάσας παιδείας ἐγκατάλειψις τοῦ Ἰσραὴλ εἰς τὸ ἐναντιοῦσθαι θεῷ, τοῦτ' ἔστιν Χριστῷ, μετὰ λιμὸν καὶ σπανομβρίαν καὶ νόσους καὶ καμποβρωσίαν καὶ φθορὰν καὶ Σοδομιτικὴν ἀνατροπήν, ἐφ' οἷς οὐκ ἐπεστράφησαν. ἑπομένη δὲ τῇ ἐναντιώσει πτῶσις ἀνεπανόρθωτος καὶ ὀλίγων ὑπόλειψις, ἀπὸ τοῦ Ἀπαγγείλατε ὅτι ταῦτα ἠγάπησαν οἱ υἱοὶ Ἰσραήλ, λέγει κύριος, ἕως τοῦ Ὑπολειφθήσονται δέκα τῷ οἴκῳ Ἰσραήλ.

Β. Πρόρρησις ἐπικλυσμοῦ γῆς· ὃ καὶ ἑξῆς ἐπαναλαμβάνει πρὸ τοῦ τετάρτου κεφαλαίου, ἀπὸ τοῦ Καὶ ἐπὶ τούτοις οὐ ταραχθήσεται ἡ γῆ, ἕως τοῦ Ὡς τῷ ποταμῷ Αἰγύπτου.

Γ. Σκοτασμὸς ἐν μεσημβρίᾳ καὶ μεταβολὴ ἑορτῶν εἰς πένθος καὶ ἀφαίρεσις λόγου θεοῦ, ἃ γίνεται διὰ Χριστόν, ἀπὸ τοῦ Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος ὁ θεός, δύσεται ὁ ἥλιος .....[1]) *μεσημβρίας, ἕως τοῦ Περιδραμοῦνται ζητοῦντες τὸν λόγον κυρίου καὶ οὐ μὴ εὕρωσιν.*

Δ. Ἔξαρσις πονηρῶν βασιλέων καὶ ὑπόλειψις τοῦ οἴκου Ἰσραὴλ μετὰ σκεδασμὸν παγκόσμιον, ἀπὸ τοῦ Ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου τοῦ θεοῦ ἐπὶ τὴν βασιλείαν τῶν ἁμαρτωλῶν, ἕως τοῦ Οὐδὲ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς τὰ κακά.

Ε. Ἀνάστασις σκηνῆς Δαυὶδ τῆς πεσούσης καὶ κατάσχεσις γῆς ἐθνῶν ὑπὸ τοῦ Ἰσραήλ, ἀπὸ τοῦ Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν Δαυίδ, ἕως τοῦ Λέγει κύριος ὁ ποιῶν ταῦτα.

Ϛ. Τέλος διπλῇ καρποφορία γῆς καὶ κατοικισμὸς τοῦ Ἰσραὴλ ἐν τῇ γῇ αὐτῶν ἀμετακίνητος καὶ τῶν ἠφανισμένων πόλεων ἀνοικοδόμησις· ἃ ἔσται διὰ Χριστοῦ ὕστερον, νῦν δὲ πνευματικῶς· ἀπὸ τοῦ Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ καταλήψεται ὁ ἀροτριῶν τὸν θερίζοντα, ἕως τοῦ τέλους.

ΕΝ ΤΩ ΙΩΗΛ.

Α. Ἐν μέσῳ τῶν περὶ κάμπης καὶ ἀκρίδος καὶ βρούχου καὶ ἐρισύβης λέγεσθαι δοκούντων κεῖται τό Μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος τοῦ κατάρξαι αὐτῶν ἔθνη, καὶ τὸ Ἐζήλωσε κύριος τὴν γῆν αὐτοῦ· ἐν οἷς δείκνυται περὶ ἐχθρῶν ὁ λόγος ὤν, καθ' ὧν καὶ ζηλοῦν λέγεται ὁ θεὸς ὑπὲρ τοῦ ἰδίου λαοῦ. καὶ μετ' ὀλίγα Τὸν ἀπὸ βορρᾶ ἐκδιώξω ἀφ' ὑμῶν, καὶ ἑξῆς Θάρσει γῆ, χαῖρε καὶ εὐφραίνου, ὅτι ἐμεγάλυνεν κύριος τοῦ ποιῆσαι ὡσπερεὶ θαυμασίου καὶ ἐνδόξου σωτηρίας, καὶ τὸ μεῖζον Τὰ τέκνα Σιών, χαίρετε καὶ εὐφραίνεσθε ἐπὶ τῷ θεῷ ὑμῶν, ὅτι ἔδωκεν ὑμῖν τὸν ὑποδεικνύοντα δικαιοσύνην, ὃς ἐπιφέρει τὴν ἐξ ἀκαρπίας καρποφορίαν, καὶ πνευματικῶς εὐεργετῶν κατὰ τὴν εἰς δικαιοσύνην ὁδηγίαν τὴν δι' Ἡλείου (sic) *καὶ*

[1]) Hoc loco tres fere litterae erasae sunt.

σωματικῶς κατὰ τὸ θαυμάσιον τῶν καρπῶν. καὶ ἐπὶ τούτοις πάλιν Αἰνέσατε τὸ ὄνομα κυρίου τοῦ θεοῦ ὑμῶν, ὃς ἐποίησεν μεθ' ὑμῶν θαυμάσια, καὶ οὐ μὴ καταισχυνθῇ ὁ λαός μου εἰς τὸν αἰῶνα· ὃ τοῦ ἐσχάτου ἐστὶ καιροῦ καὶ εἰς τὸ λεῖμμα τὸ πιστεῦον, ἀπὸ τοῦ Σαλπίσατε σάλπιγγι ἐν Σίων, ἕως τοῦ Καὶ οὐ μὴ καταισχυνθῇ ἔτι ὁ λαός μου εἰς τὸν αἰῶνα.

Β. Ἐφ' οἷς ἡ τοῦ πνεύματος καθ' ὅλου δωρεά, ἀρξαμένη μὲν ἀπὸ τῆς πρώτης παρουσίας, τελεουμένη δὲ ἐν τῇ δευτέρᾳ, Καὶ πᾶς μὲν ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου σωθήσεται, διὰ τὰ ἔθνη λέγεται· περὶ δὲ τοῦ Ἰσραὴλ ἐπάγεται ὅτι ἐν τῷ ὄρει Σιὼν καὶ ἐν Ἱερουσαλὴμ ἔσται ἀνασωζόμενος, καὶ ἐν τοῖς ὑπολειφθεῖσιν οὓς κύριος καλέσει.

Γ. Καὶ μετὰ τὴν ἐπάνοδον Ἰσραὴλ ἐθνῶν ἐφόδου πρόρρησις καὶ ἰσχύος Ἰσραὴλ κατὰ ἐθνῶν, ὥστε αἰχμαλωτίζειν καὶ δούλους ποιεῖν· εἶτα ἐπιφανοῦς ἐνεργίας θεοῦ κατὰ τῶν ἐπελευσομένων, μεθ' ἣν λέγει Καὶ ἔσται Ἱερουσαλὴμ ἁγία, καὶ ἀλλογενεῖς οὐ διελεύσονται ἔτι δι' αὐτῆς οὐκέτι. ὅπερ μετὰ τὴν ἐξ αἰχμαλωσίας Βαβυλωνιακῆς ἐπάνοδον οὐ γέγονεν, ὡς ὁ προφήτης προεῖπεν Ὅταν ἐπιστρέψω τὴν αἰχμαλωσίαν Ἰούδα καὶ Ἱερουσαλήμ· ἀλλὰ Χριστῷ πεφύλακται τῷ ἐπισυνάγοντι τοὺς ἐγγενεῖς τῆς Ἱερουσαλὴμ πνεύματι καὶ σώματι.

Δ. Καὶ ἐπάγει καρποφορίαν παράδοξον καὶ τῶν ἀκάρπων βουνῶν καὶ ὀρῶν, καὶ πηγὴν ἐξ οἴκου κυρίου προχεομένην, ἐρημίαν δὲ χωρῶν τῶν πολεμίων, τῆς δὲ Ἰουδαίας κατοικισμὸν αἰώνιον καὶ κυρίου κατασκήνωσιν εἰς Σιών, ἀπὸ τοῦ Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀποστάξει τὰ ὄρη γλυκασμόν, ἕως τοῦ τέλους.

ΕΝ ΤΩ ΑΒΔΙΟΥ.

Α. Ἡ κατὰ πάντων ἐθνῶν ἀπειλὴ κατ' ἀρχήν, ἐν οἷς καὶ ἡ κατὰ Ἰδουμαίας, ἀπὸ τῆς ἀρχῆς ἕως τοῦ Ἐκεῖθεν κατάξω σε, λέγει κύριος. καὶ ἐν τέλει ἡ αὐτή· σωτηρία δὲ ἐν τῷ ὄρει Σιὼν καὶ κατάσχεσις τῶν ἐθνῶν ὑπὸ Ἰσραὴλ καὶ ἀνάλωσις τῶν ἐχθρῶν καὶ εἰς θεὸν ἡ βασιλεία πάντων, ἃ πληροῦται ἐν Χριστῷ· ἀπὸ τοῦ Διότι ἐγγὺς ἡμέρα κυρίου, ἕως τοῦ τέλους.

ΕΝ ΤΩ ΙΩΝΑ.

Α. Ὁ τύπος τοῦ κυρίου ἐν κοιλίᾳ κήτους ζῶν καὶ σῶος ἀπὸ κήτους προϊὼν καὶ κηρύσσων ἀδίκοις ὄλεθρον εἰς ἐπιστροφήν.

ΕΝ ΤΩ ΜΙΧΑΙΑ.

Α. Περὶ τοῦ λειψάνου τοῦ Ἰσραὴλ καὶ περὶ τοῦ κληρονόμου προφητεία ἐν τῷ λέγεσθαι πόρθησιν αὐτῶν καὶ αἰχμαλωσίαν, λαμβάνοντος ἐξ αὐτῶν θεοῦ στάσιν αὐτοῦ, ὡς ὁ Ἡσαΐας τὴν στάσιν τῆς Ἱερουσαλὴμ ἁγίαν φησὶν ....[1]*· ἀπὸ τοῦ Λήψεται ἐξ ὑμῶν στάσιν αὐτοῦ, μέχρι τοῦ Ἕως τὸν κληρονόμον ἀγάγω σοι.*

Β. Ὁ ἐν τῇ ἐπανόδῳ καθηγούμενος τοῦ Ἰσραὴλ βασιλεύς, καθ' ὃ λέγει ὁ προφήτης Πρὸ προσώπου αὐτῶν διέκοψαν πύλην, καὶ ἐξῆλθεν ὁ βασιλεὺς αὐτῶν πρὸ προσώπου αὐτῶν· ἀπὸ τοῦ Καὶ ἔσται ἐκ τῆς σταγόνος τοῦ λαοῦ αὐτοῦ, ἕως τοῦ Ὁ δὲ κύριος ἡγήσεται αὐτῶν.

[1]) In codice scriptum est *πρόθησης*, quod corruptum esse apparet. Videtur *πορθηθήσεσθαι* vel simile quid corrigendum esse.

Γ. Ἡ τοῦ ὄρους δόξα καὶ συνδρομὴ πάντων ἐθνῶν ἐπ' αὐτὸ καὶ ἐπὶ τὴν τῶν νόμων τῶν ἐκεῖθεν ἐξιόντων μάθησιν. ᾧ ἀκολουθεῖ πρόρρησις εἰρήνης, ἀναιρουμένου πολέμου καὶ ὅπλων εἰς ὄργανα γεωργικὰ μεταβαλλομένων, καὶ ἀναπαύσεως πάσης ἐσομένης, καὶ φόβου παντὸς παυομένου, ὅτε λέγεται ἐπισυνάγεσθαι ἡ συντετριμμένη καὶ εἰσδεχθήσεσθαι ἡ ἀπωσμένη καὶ ἔσεσθαι εἰς ἔθνος ἰσχυρόν, καὶ βασιλεύσει[ν] [1]) *κύριος ἐπ' αὐτοὺς ἐν ὄρει Σιών, καὶ ἡ βασιλεία ἡ πρώτη ἔρχεσθαι ἐπὶ τὴν Σιὼν τὴν νῦν οὖσαν ὡς πύργον αὐχμώδη. ταῦτα δὲ οὔπω* (sic). *ἀπὸ τοῦ Καὶ ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ἕως τοῦ Ἡ ἀρχὴ ἡ πρώτη βασιλεία τῇ θυγατρὶ Ἱερουσαλήμ.*

Δ. Ὁ ἐκ Βηθλεὲμ ἐξερχόμενος ἄρχων τοῦ Ἰσραὴλ αἰώνιος ὤν, ἐκδιδοὺς τὸν Ἰσραὴλ ἕως ἡ καινὴ ἐκκλησία τέκῃ τὸν ἑαυτῆς λαόν. καὶ τότε ἐπιστραφήσεσθαι λέγει τοὺς λοιποὺς τῶν ἀδελφῶν αὐτῶν ἐπὶ τοὺς υἱοὺς Ἰσραὴλ καὶ ποιμανεῖν αὐτοὺς κύριον καὶ δόξαν αὐτοῖς περιθήσειν ἐν τῷ τοῦ πατρὸς ὀνόματι. ἀπὸ τοῦ Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθά, ἕως τοῦ Μεγαλυνθήσονται ἕως ἄκρων τῆς γῆς.

Ε. Τότε ἔσεσθαι τοὺς ὑπολοίπους (cod. *-λύπους*) *τοῦ Ἰσραὴλ ὡς δρόσον ἐπὶ τὰ ἔθνη, καὶ ὡς λέοντα καὶ σκύμνον ὀλεθρεύοντα τοὺς θλίψαντας αὐτόν· ὃ οὔτε γέγονεν οὔτε ἔσται, ἀλλ' ἢ πνευματικῶς γίνεται. ἀπὸ τοῦ Καὶ ἔσται τὸ ὑπόλειμμα τοῦ Ἰακὼβ ἐν τοῖς ἔθνεσιν, ἕως τοῦ Καὶ πάντες οἱ ἐχθροί σου ἐξολοθρευθήσονται.* [2])

Ϛ. Πρόρρησις παυομένης τῆς ὀργῆς τῆς ἐπὶ τὸν Ἰσραὴλ μετὰ τὴν νῦν παίδευσιν καὶ αἰσχυνθησομένων τῶν ἀλλοφύλων τῶν λεγόντων Ποῦ ὁ θεὸς τοῦ Ἰσραήλ; καὶ ταπεινωθησομένων ὑπὸ ἐχθροῖς, καὶ ποιμανθησομένου τοῦ Ἰσραὴλ ἐν τῇ ἰδίᾳ γῇ εἰς αἰῶνα καὶ θαυμάσιον ἕξοντος ἐπάνοδον ὥσπερ τὴν ἐξ Αἰγύπτου ἔξοδον, ἐφ' ᾧ θαυμάσειν λέγει τὰ ἔθνη καὶ ἐκπλαγήσεσθαι· αὕτη δὲ χάρις Χριστοῦ. ἀπὸ τοῦ Μὴ ἐπίχαιρέ μοι ἡ ἐχθρά μου ὅτι πέπτωκα καὶ ἀναστήσομαι, ἕως τοῦ τέλους.

ΕΝ ΤΩ ΝΑΟΥΜ.

Ἡ τελευταία ἐπάνοδος τοῦ Ἰσραήλ, ἔνθα λέγεται Τὸ οὖς παρήσεται ἐκ τοῦ στόματός σου. ἔτι ὅπου καὶ τὸ Ἑόρταζε Ἰούδα τὰς ἑορτάς σου, διότι οὐ μὴ προσθῶσιν τοῦ διελθεῖν εἰς παλαίωσιν. ἀπὸ τοῦ Καὶ νῦν συντρίψω τὴν ῥάβδον αὐτοῦ, μέχρι τοῦ Καθὼς ὕβριν τοῦ Ἰσραήλ. καὶ μετ' ὀλίγα περὶ Αἰγυπτίων προφητεία, ὧν ὁ Ἀντίχριστος κρατήσει, σημαινομένης τῆς Ἀλεξανδρείας, ἧς ἡ εὐπορία θάλασσα, Ὕδωρ κύκλῳ αὐτῆς, καὶ Αἰθιοπία ἰσχὺς αὐτῆς καὶ Αἴγυπτος, Φοὺτ καὶ Λίβυες ἐγένοντο βοηθοί σου· καὶ αὕτη (sic) *εἰς αἰχμαλωσίαν πορεύσεται, καὶ τὰ ἑξῆς. μέλλει ταῦτα. ἀπὸ τοῦ Ἰδοὺ ἐγὼ ἐπὶ σέ, λέγει κύριος, ἕως τοῦ Καὶ πάντες οἱ μεγιστᾶνες αὐτῆς δεθήσονται χειροπέδαις.*

ΕΝ ΤΩ ΑΜΒΑΚΟΥΜ.

Ἡ ᾠδὴ τοῦ Ἀμβακοὺμ λέγεται τῆς κριτικῆς παρουσίας τοῦ κυρίου, προαισθανομένου τοῦ προφήτου, ὡς φοβερά, καὶ ὡς πρῶτον μὲν τὴν ἀνάστασιν ἐργάσεται, τὸ ἔργον τὸ ἴδιον ἐν τῷ καιρῷ τοῦ κόσμου ἀναζωοποιῶν ἔτι ἐν καιρῷ τῆς παρούσης ὀργῆς· εἶτα ἀποκαλυφθήσεται ἐξ οὐρανοῦ καὶ τὴν δόξαν αὐτοῦ φοβερὰν καταστήσει, ἣν ἀπέκρυψεν ἐν τῇ προτέρᾳ παρουσίᾳ τῇ τῶν χειρῶν ἐκτάσει τὰ μέγιστα ἰσχύσας. ἀπὸ τοῦ Κύριε εἰσακήκοα τὴν ἀκοήν σου, ἕως τοῦ Καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ.

[1]) In codice est *βασιλεύσει*.

[2]) Utraque igitur forma in codice est, et *ἐξολεθρεύειν* et *ἐξολοθρεύειν*.

B. Ἐν δὲ τῇ δευτέρᾳ παρουσίᾳ τὴν δόξαν ἐπιδείξει καὶ τὴν κρίσιν ἐπιτελέσει πρὸς σωτηρίαν δικαίων, πρὸς κατάκρισιν ἀσεβῶν. τὰ ἑξῆς ἕως τοῦ τέλους.

ΕΝ ΤΩ ΣΟΦΟΝΙΑ.

Α. Προφητεία τοῦ κατασχεθήσεσθαι τὴν ἀλλόφυλον γῆν[1]) *ὑπὸ τῶν Ἰσραηλιτῶν ἐν τῷ ἐπιστραφῆναι τὴν αἰχμαλωσίαν αὐτῶν, ὅπου λέγεται τὸ Ἔσται τὸ σχοίνισμα*[2]) *τῆς θαλάσσης τοῖς καταλοίποις οἴκου Ἰούδα, καὶ τὰ ἑξῆς, καὶ τὸ Μωὰβ ὡς Σόδομα ἔσται καὶ υἱοὶ Ἀμμὼν ὡς Γόμορρα, καὶ τὸ Οἱ κατάλοιποι τοῦ λαοῦ μου διαρπῶνται αὐτούς, καὶ οἱ κατάλοιποι ἔθνους μου κληρονομήσουσιν αὐτούς, διότι ὠνείδισαν καὶ ἐμεγαλύνθησαν ἐπὶ τὸν λαὸν κυρίου παντοκράτορος· ἐπιφανήσεται κύριος ἐπ' αὐτοὺς καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῆς γῆς, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν. ταῦτα δὲ οὖν* (supra lineam additum *νῦν*, sed id ad emendandum locum non satis videtur) *ἀπὸ τοῦ Ζητήσατε τὸν κύριον πάντες ταπεινοὶ γῆς, ἕως τοῦ Πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν.*

Β. Προφητεία παγκοσμίου θεοσεβείας, ὅπου τὸ Ἐπιστρέψω ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰς αὐτῶν τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα κυρίου τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα· καὶ μετὰ βραχὺ περὶ τοῦ Ἰσραὴλ Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐ μὴ καταισχυνθῇς ἐκ πάντων τῶν ἐπιτηδευμάτων σου ὧν ἠσέβησας εἰς ἐμέ. καὶ πρόρρησις τοῦ ἔσεσθαι ὑπολελειμμένον λαὸν ἐν Ἱερουσαλὴμ πρᾶον καὶ ταπεινόν, καὶ εὐλαβηθήσεσθαι ἀπὸ τοῦ ὀνόματος κυρίου τοὺς καταλοίπους τοῦ Ἰσραήλ, καὶ μὴ ποιήσειν ἀδικίαν καὶ μὴ λαλήσειν μάταια, καὶ μὴ εὑρεθήσεσθαι ἐν τῷ στόματι αὐτῶν γλῶσσαν δολίαν. ἅπερ οὐκ ἔστι τοῦ[3]) *παρόντος αἰῶνος, ὥσπερ καὶ μετ' ὀλίγον τὸ Χαῖρε θυγάτηρ Σιὼν σφόδρα, καὶ τὰ ἑξῆς μέλλοντα εἶναι ἐν μεταβολῇ τῶν Ἰσραηλιτικῶν κακῶν Λελύτρωται γάρ σε κύριος ἐκ χειρὸς ἐχθρῶν* (sic) *σου· ἐν μέσῳ σου βασιλεύσει κύριος, οὐκ ὄψῃ κακὰ οὐκέτι. ἀπὸ τοῦ Διὰ τοῦτο ὑπόμεινόν με, λέγει κύριος, εἰς ἡμέραν ἀναστάσεώς μου αἰωνίας, ἕως τοῦ τέλους.*

ΕΝ ΤΩ ΑΓΓΑΙΩ.

Α. Ἡ ἐπαγγελία τῆς κινήσεως[4]) *τοῦ κόσμου καὶ τῆς μετὰ ταῦτα εἰς Ἱερουσαλὴμ ἀθροίσεως τοῦ κατὰ τὸν κόσμον πλούτου καὶ δόξης τοῦ ναοῦ μείζονος ὑπὲρ τὴν προτέραν· μεθ' ἣν ἐπαγγελίαν, ἀπλήρωτον οὖσαν ἔτι καὶ νῦν, καὶ εἰρήνην τοῖς κτίζουσι τότε τὸν ναὸν ἐπαγγέλλεται. ἀπὸ τοῦ Ἔτι ἅπαξ ἐγὼ σείω τὸν οὐρανὸν καὶ τὴν γῆν, ἕως τοῦ Τῷ κτίζοντι τοῦ ἀναστῆσαι τὸν ναὸν τοῦτον.*

Β. Ἡ ἐπανάληψις τῆς αὐτῆς ἐπαγγελίας, ἔνθα καὶ δηλοῦται τίς ἡ κίνησις τοῦ κόσμου ὡς βασιλειῶν καθαιρουμένων καὶ δυνάμεως ἐθνῶν καταβαλλομένης πολεμούντων πρὸς ἄλληλα. λέγεται δὲ καὶ Ζοροβάβελ τότε τὴν μεγίστην ἕξειν παρὰ θεῷ τιμήν, ὡς αὐτὸς ὢν ὁ εὐδόκητος θεῷ. ὅπερ τύπος εἰς Χριστόν, περὶ οὗ λέγει φωνὴ οὐράνιος Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα. ἀπὸ τοῦ Ἔτι ἅπαξ ἐγὼ σείω τὸν οὐρανὸν καὶ τὴν γῆν, ἕως τοῦ τέλους.

[1]) In codice *τὴν* pro *γῆν* scriptum est; *ἀλλόφυλον* emendatione (*τῶν ἀλλοφύλων*) non videbatur opus habere.

[2]) In codice est *σχύνησμα*.

[3]) *τοῦ* scripsimus pro *τοῦτο* quod in codice est. Item postea *ὥσπερ* pro *ὥστε*.

[4]) In codice scriptum est *σκήνησεως*.

ΕΝ ΤΩ ΖΑΧΑΡΙΑ.

Α. Τέσσαρα κέρατα δηλοῦνται διασκορπίζοντα τὸν Ἰούδαν καὶ τὸν Ἰσραήλ· ταῦτα δέ ἐστιν αἱ τέσσαρες βασιλεῖαι, ἐν αἷς καὶ ἡ Ῥωμαϊκή. θεωροῦνται καὶ τέσσαρες τέκτονες περικόπτοντες τὰ τέσσαρα κέρατα, ἃ λέγει ἔθνη ἐπαίροντα κέρας ἐπὶ τὴν γῆν κυρίου τοῦ διασκορπίσαι αὐτήν. ἀπόκειται ἄρα καὶ τῆς τετάρτης βασιλείας περιαίρεσις διὰ τὴν ἀδικίαν τὴν κατὰ Ἰσραήλ, ὥστε οὔπω Ἰσραὴλ εἰς ἀνεπίστροφον ἀποβολὴν ἀποβέβληται, ὑπὲρ οὗ τιμωρία προώρισται. ἀπὸ τοῦ Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον, καὶ ἰδοὺ τέσσαρα κέρατα, ἕως τοῦ Τὸ ἐπαιρόμενον κέρας ἐπὶ τὴν γῆν κυρίου τοῦ διασκορπίσαι αὐτήν.

Β. Ἀτειχίστως κατοικισθήσεσθαι Ἱερουσαλὴμ ὁ ἄγγελος προλέγει, τεῖχος δὲ ἕξειν τὸν θεόν, καὶ εἰς δόξαν ὄντα ἐν μέσῳ αὐτῆς. οὔτε δὲ τὸ ἀτείχιστον γέγονεν· τετείχισται γάρ· οὔτε ἡ θεοῦ κατοίκησις ἐν αὐτοῖς, οἳ ἔμελλον χριστοκτονεῖν, καὶ εὐθὺς δὲ ἐξ ἀρχῆς ἠμέλουν (cod. *ἠμέλλουν*) *τῶν νόμων καὶ δεινὰ ἔπρασσον. ἀπὸ τοῦ Καὶ ἰδοὺ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ ἱστήκει, ἕως τοῦ Καὶ εἰς δόξαν ἔσομαι εἰς μέσον αὐτῶν.*

Γ. Ἐκ τῶν τεσσάρων ἀνέμων τοῦ οὐρανοῦ φησὶν συνάξειν αὐτοὺς εἰς Σιών, κελεύων ἀνασώζεσθαι τοὺς κατοικοῦντας Βαβυλῶνα. οὔτε δὲ οἱ ἐν Βαβυλῶνι πάντες ἐπανῆλθον, οὔτε ἐκ τῶν τεσσάρων ἀνέμων. ἀπὸ τοῦ Ὦ ὢ φεύγετε ἀπὸ τῆς βορρᾶ, ἕως τοῦ Οἱ κατοικοῦντες θυγατέρα Βαβυλῶνος.

Δ. Μετὰ τὴν δόξαν, φησίν, ὁ ἄγγελος ἀπέσταλκέν με ἐπὶ τὰ ἔθνη τὰ σκυλεύσαντα ὑμᾶς, καὶ ἐπάγει ὅτι ἔσονται σκῦλα τοῖς δουλεύσασιν αὐτοῖς. ζητεῖτε (potius *ζητεῖται?*) *οὖν τὰ κατὰ τῶν ἐθνῶν· οὐ γὰρ πεπλήρωται μετὰ τὴν γενομένην ὀλίγην δόξαν τοῦ Ἰσραήλ. ἀπὸ τοῦ Διότι τάδε λέγει κύριος παντοκράτωρ Ὀπίσω δόξης ἀπέσταλκέν με ἐπὶ τὰ ἔθνη, ἕως τοῦ Καὶ γνώσεσθε ὅτι κύριος παντοκράτωρ ἀπέσταλκέν με.*

Ε. Ἰδοὺ ἐγώ, φησίν, ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει κύριος, καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ἔτι καὶ ταῦτα ἀπλήρωτα. ἐπολέμησεν γὰρ τοῖς Ἰσραηλίταις μετὰ τὴν ἐπάνοδον τὰ ἔθνη, καὶ οὐ προσέφυγεν αὐτοῖς· οὐδὲ θεὸς ἐν μέσῳ αὐτῶν προεγνωκὼς ἣν ἔμελλον ἐργάσασθαι μεγίστην ἀσέβειαν. ἀπὸ τοῦ Τέρπου καὶ εὐφραίνου θύγατερ Σιών, ἕως τοῦ Διότι ἐξεγήγερται ἐκ νεφελῶν ἁγίων αὐτοῦ.

Ϛ. Λίθον ἀλληγορήσας τὸν κύριον ὀφθαλμοῖς ἑπτὰ κεκοσμημένον, ἄφεσιν ἔσεσθαι τῶν ἁμαρτιῶν τῆς γῆς ἐκείνης ἐπ' αὐτοὺς προαγορεύει, ἥτις ἐν τῷ πάθει γέγονεν, καὶ ἀνάπαυσιν τοῦ Ἰσραὴλ ὑποκάτω ἀμπέλου καὶ ὑποκάτω συκῆς αὐτοῦ. τὰ ἐναντία δὲ νῦν ἀποβέβηκεν· αἰχμάλωτοι γάρ εἰσιν μετὰ τὸ πάθος, ὥστε εἰς ἐλπίδα τοῦτο ἀπόκειται. ἀπὸ τοῦ Ἄκουε δὴ Ἰησοῦ ἱερεὺς ὁ μέγας, ἕως τοῦ Ὑποκάτω ἀμπέλου καὶ ὑποκάτω συκῆς.

Ζ. Περὶ τῆς πανταχόθεν ἐπανόδου τοῦ Ἰσραὴλ καὶ ἀληθοῦς πρὸς θεὸν οἰκειώσεως, ὃ νῦν οὐκ ἔστιν οὐδὲ γέγονεν· ὅπου τὸ Ἰδοὺ ἐγὼ σώζω τὸν λαόν μου ἀπὸ γῆς ἀνατολῶν καὶ ἀπὸ γῆς δυσμῶν, καὶ εἰσάξω αὐτοὺς καὶ κατασκηνώσω ἐν μέσῳ Ἱερουσαλήμ, καὶ ἔσομαι αὐτοῖς εἰς θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαὸν ἐν ἀληθείᾳ καὶ ἐν δικαιοσύνῃ. ἀπὸ τοῦ Τάδε λέγει κύριος παντοκράτωρ Ἰδοὺ ἐγὼ σώζω τὸν λαόν μου ἀπὸ γῆς ἀνατολῶν, ἕως τοῦ Ἐν ἀληθείᾳ καὶ ἐν δικαιοσύνῃ.

Η. Προφητεία συνδρομῆς ἐθνῶν εἰς Ἱερουσαλὴμ ἐπὶ λατρείᾳ θεοῦ καὶ δέκα ἀνδρῶν ἑνὸς ἀντιλαμβανομένων Ἰσραηλίτου πρὸς ἀκολούθησιν καὶ στηριγμὸν (cod. *στηριγμοῦ*) *τοῦ οἴκου καὶ ἀνεπιβάτου γῆς καὶ τοῦ λαοῦ μηκέτι ἐξιλασθησομένου. ἀπὸ τοῦ Τάδε λέγει κύριος παντοκράτωρ Ἔτι ἥξουσιν λαοὶ πολλοί, ἕως τοῦ Διότι νῦν ἑόρακα τοῖς ὀφθαλμοῖς μου.*

Θ. Προφητεία περὶ Χριστοῦ ταπεινῷ σχήματι μέλλοντος εἰς τὴν Ἱερουσαλὴμ εἰσιέναι (cod. *εἰσειεῖναι*) *ἐπὶ πώλου καὶ τῆς μητρὸς αὐτοῦ, καὶ λαλήσοντος εἰρήνην τοῖς ἔθνεσιν, καὶ μετὰ ταῦτα λυτρουμένου. τὸ λείψανον τοῦ Ἰσραήλ, καὶ δυνάμεως διδομένης αὐτοῖς κατὰ τῶν Ἑλλήνων, ἐν πολέμῳ οὐδενὸς αὐτῶν ἐν αἰχμαλωσίᾳ καταλειπομένου, θαλάσσης διαιρουμένης αὐτοῖς* (cod. *αὐτῆς*) *καὶ ποταμῶν ξηραινομένων. προσδοκᾶν δὲ δεῖ ταῦτα. ἀπὸ τοῦ Χαῖρε σφόδρα θυγάτηρ Σιών, ἕως τοῦ Καὶ ἐν τῷ ὀνόματι αὐτοῦ καυχήσονται, λέγει κύριος.*

Ι. Προφητεία διαλυομένης τῆς πρὸς τὰ ἔθνη διαθήκης καὶ ἐπεγειρομένων ἀλλήλοις τῶν ἀπιστησάντων ἐθνῶν, διαλυομένης δὲ μετὰ ταῦτα καὶ τῆς πρὸς τὸν Ἰσραὴλ καὶ ἐπεγειρομένου τοῦ Ἀντιχρίστου, ὅπου τῶν δύο ῥάβδων ὁ τύπος. ἀπὸ τοῦ Διὰ τοῦτο οὐ φείσομαι οὐκέτι ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν, ἕως τοῦ Καὶ ὁ ὀφθαλμὸς αὐτοῦ ὁ δεξιὸς ἐκτυφλούμενος ἐκτυφλωθήσεται.

ΙΑ. Πρόρρησις πεσουμένης τῆς Ἱερουσαλὴμ καὶ ὑπὸ ἐθνῶν καὶ τῶν πολεμίων ταπεινωθησομένων καὶ λειψάνου ἰσχυροῦ μενοῦντος ἐν Ἱερουσαλὴμ καὶ κατακαύσοντος τὰ ἔθνη καὶ βοηθείας θεοῦ καὶ δόξης τευξομένου καὶ χάριτος δοθησομένης τοῖς πιστεύουσι, κοπετοῦ δὲ ἥξοντος ἐν ἐπιφανίᾳ Χριστοῦ τοῖς ἀπιστήσασι καὶ τῇ χριστοκτονίᾳ συντρέχουσι. καὶ πρόρρησις καθάρσεως ἐν ὕδατι διδομένης ἕπεται τούτοις, καὶ πρόρρησις ἀναιρουμένης εἰδωλολατρείας καὶ εἰδώλων καὶ ψευδοπροφητείας πάσης. ἀπὸ τοῦ Λῆμμα λόγου κυρίου ἐπὶ τὸν Ἰσραήλ, λέγει κύριος, ἐκτείνων οὐρανόν, ἕως τοῦ Καὶ τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐξαρῶ ἀπὸ τῆς γῆς.

ΙΒ. Πρόρρησις πάθους Χριστοῦ καὶ κλήσεως ἐθνῶν καὶ δοκιμασίας τῶν σωζομένων. ἀπὸ τοῦ Ῥομφαία ἐξεγέρθητι ἐπὶ τὸν ποιμένα μου, ἕως τοῦ Καὶ αὐτὸς ἐρεῖ Κύριος ὁ θεός μου.

ΙΓ. Πρόρρησις πορθήσεως τῆς Ἱερουσαλήμ, λειψάνου δὲ μενοῦντος καὶ μετὰ ταῦτα πολέμου θείου κατὰ τῶν ἐθνῶν τῶν πολεμησάντων καὶ διαιρέσεως τοῦ αἰῶνος ὑπὸ τοῖς ποσὶ τοῦ κυρίου εἰς τέσσαρα μέρη καὶ ἀναπληρώσεως εἰς συνάφειαν τῶν μερισθέντων· καὶ προφητεία παρουσίας Χριστοῦ μετὰ τῶν ἁγίων ἀγγέλων καὶ σκοτώσεως τοῦ κόσμου πρὸς μίαν ἡμέραν, ὕδατος ἐξιόντος ἐξ Ἱερουσαλὴμ καὶ ἄρδοντος διά τε χειμῶνος καὶ θέρους πάντα τὰ μέρη τὰ δυτικὰ καὶ ἀνατολικά. ἑξῆς πρόρρησις σεβάσματος θεοῦ τὰ πάντα καθέξοντος καὶ Ἱερουσαλὴμ ἐπὶ τῶν ὁρίων αὐτῆς στησομένης καὶ μηκέτι ἀνάθεμα γενησομένης. ἀπὸ τοῦ Ἰδοὺ ἡμέραι ἔρχονται τοῦ κυρίου καὶ διαμερισθήσεται τὰ σκῦλά σου ἐν σοί, ἕως τοῦ Καὶ κατοικήσει Ἱερουσαλὴμ πεποιθότως.

ΙΔ. Ἑξῆς ἀπειλὴ αἰφνιδίου καὶ παραδόξου διαφθορᾶς τῶν πολεμησάντων· καὶ πρόρρησις συναγωγῆς πλούτου παντὸς εἰς τὴν Ἱερουσαλήμ, καὶ ἀναβάσεως ἐθνῶν εἰς ἑορτασμὸν τῆς σκηνοπηγίας, καὶ τιμωρίας (cod. *τιμωρία*) *τῶν μὴ ἀνιόντων, καὶ παντὸς χαλκοῦ παραλείψεως εἰς λεβήτων κατασκευὴν τῶν ἐπὶ τὰς θυσίας εὐτρεπιζομένων. ἀπὸ τοῦ Καὶ αὕτη ἔσται ἡ πτῶσις ἣν κόψει κύριος πάντας τοὺς λαούς, ἕως τοῦ τέλους.*

ΕΝ ΤΩ ΜΑΛΑΧΙΗΛ.

Α. Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα, καὶ μετὰ ταῦτα Ἐπικληθήσεται αὐτοῖς ὅρια ἀνομίας, καὶ λαὸς ἐφ᾽ ὃν παρατέτακται κύριος ἕως αἰῶνος, καὶ ἐφεξῆς τὸ περὶ τῶν ἐθνῶν ἐν οἷς φησὶν εἶναι θυσίαν αὐτῷ καθαρὰν καὶ μέγα τὸ ὄνομα αὐτοῦ ἐν αὐτοῖς, ἐν δὲ Ἰσραηλίταις μὴ εἶναι θέλημα αὐτοῦ, προεισαγαγὼν τύπον τὸν Ἡσαῦ καὶ τοὺς Ἰδουμαίους, ἐπήγαγεν τὴν τοῦ Ἰσραὴλ ἐκβολήν, ὥστε εἶναι τύπον αὐτοῦ τὸν Ἡσαῦ καθὰ καὶ παρὰ τῷ Παύλῳ. ἀπὸ τῆς ἀρχῆς ἕως τοῦ Ὑμεῖς δὲ ἐβεβηλοῦτε αὐτό.

B. Περὶ τοῦ προδρόμου, ὅπου Ἐγὼ ἀποστελῶ τὸν ἄγγελόν μου, καὶ ἑξῆς περὶ τοῦ κυρίου, Καὶ ἐξαίφνης (cod. *ἐξέφνης*) *ἥξει εἰς τὸν ναὸν αὐτοῦ κύριος, καὶ τὰ ἑξῆς. ἀπὸ τοῦ Ἰδοὺ ἐγὼ ἀποστελῶ* (cod. h. l. *ἀποστέλω*) *τὸν ἄγγελόν μου, ἕως τοῦ Καὶ καθὼς τὰ ἔτη τὰ ἔμπροσθεν.*

Γ. Τὴν τοῦ προδρόμου ἀποστολὴν ἐν τῷ τέλει λέγει καὶ τὴν ἀνάμνησιν τοῦ νόμου τοῦ Μωυσέως καὶ ταῦτα πλησίον τῆς κρίσεως, ἐν ᾗ διαστέλλεται τὰ τῶν πονηρῶν καὶ τῶν ἀγαθῶν. ἀπὸ τοῦ Ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν, ἕως τοῦ τέλους.

ΕΝ ΤΩ ΔΑΝΙΗΛ.

Α. Ἐν τῷ ἐνυπνίῳ τοῦ Ναβουχοδονόσορ δείκνυται ἡ βασιλεία ἡ αἰώνιος, ἐπὶ γῆς ἀναστησομένη μετὰ τὰς πρὸ αὐτῆς κατασχούσας τέσσαρας, τὴν Βαβυλωνίαν, τὴν Περσικήν, τὴν Μακεδονικήν, τὴν Ῥωμαίαν· καὶ βεβαιοῦται ταῦτα προφητικῶς ὑπὸ τοῦ Δανιὴλ λέγοντος Ἀληθινὸν τὸ ἐνύπνιον καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ. ἀπὸ τοῦ Καὶ ἐν ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων ἀναστήσει ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἥτις εἰς τοὺς αἰῶνας οὐ διαφθαρήσεται, ἕως τοῦ Ἀληθινὸν τὸ ἐνύπνιον καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ.

Β. Καταρίθμησις τῶν τεσσάρων βασιλειῶν τῶν καθολικῶν, καὶ πρόρησις (sic h. l.) *μετὰ ταύτας ἀναστησομένης τῆς Χριστοῦ βασιλείας τῆς δοθησομένης τοῖς ἁγίοις καὶ καθεξούσης ἅπαντα τὰ ἔθνη, ὥστε καθεστῶτος ἔτι τοῦ κόσμου καὶ τῶν ἐθνῶν μενόντων ὁ σωτὴρ πάρεσται καὶ τὴν βασιλείαν καταστήσεται. ἀπὸ τοῦ Ἔφριξεν τὸ πνεῦμά μου ἐν τῇ ἕξει μου, ἐγὼ Δανιήλ, ἕως τοῦ Ἕως ὧδε τὸ πέρας τοῦ λόγου.*

Γ. ΥϞ *ἔτη προλέγει ὁ προφήτης, φάσκων μετὰ ἔτη* ΓΠΓ, *ἐν τοῖς τελευταίοις ἑπτὰ ἔτεσιν ἀπολεῖσθαι τὸν Ψευδόχριστον, ᾧ οὐκ ἔστιν ἡ βασιλεία, ἀπολεῖσθαι δὲ μετὰ τρία ἥμισυ ἔτη τῆς ἀνανεώσεως τοῦ Ἰσραήλ. ἐπεισελθόντα τῷ ἀνοικοδομουμένῳ ναῷ καὶ ἀνελόντα τὰς θυσίας καὶ στήσαντα βδέλυγμα ἐρημώσεως ἐν τῷ ναῷ· ὧν ἑξῆς ἐστὶν ἡ προειρημένη ἀναίρεσις τῆς τε πόλεως καὶ τοῦ ναοῦ καὶ παντελὴς ἐρήμωσις· ἅτινα γενέσθαι δεῖ Χριστοῦ παραγινομένου καὶ κατακρίναντος τὴν ἀποστασίαν καὶ καταργοῦντος τῇ ἐπιφανίᾳ τῆς παρουσίας αὐτοῦ τὸν Ἀντίχριστον καὶ ἀναιροῦντος αὐτὸν* (cod. *αὐτῷ*) *τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καθά φησιν ὁ ἀπόστολος.*

Δ. Τὰ περὶ τοῦ Ἀντιχρίστου προδηλουμένου, ὡς ἐν τύπῳ Ἀντιόχῳ τῷ Μακεδόνι, ἔχοντος μέν τινα τύπον ἐν Ἀντιόχῳ, κατὰ πολλὰ δὲ διαλλάττοντος, ἐπαναστησομένου πᾶσι σεβάσμασι καὶ ὑποτρέχοντος σχήματι τὴν τοῦ θεοῦ διαθήκην καὶ παραβαίνοντος, καὶ πολεμοῦντος πολέμους πολλούς, κρατοῦντος τριῶν βασιλειῶν, Αἰγύπτου, Λιβύης, Αἰθιοπίας, πίπτοντος ἐν τῇ Ἰουδαίᾳ· μεθ' ὃν καὶ ἡ ἀνάστασις τῶν νεκρῶν προαγορεύεται, τῶν μὲν ἐπ' αἰσχύνῃ, τῶν δὲ ἐπὶ δόξῃ. ἀπὸ τοῦ Καὶ ἀναστήσεται ἐκ τῆς ῥίζης αὐτοῦ φυτὸν βασιλείας, ἕως τοῦ Καὶ ἀπὸ τῶν δικαίων τῶν πολλῶν ὡς οἱ ἀστέρες εἰς τοὺς αἰῶνας ἔτι. ταῦτα δὲ καὶ ὁ σωτὴρ πρὸ τῆς μελλούσης ἑαυτοῦ παρουσίας ἐσόμενα προαγορεύει, καὶ τὴν λύτρωσιν τοῖς ἁγίοις. τότε καὶ τὸ μακάριον τέλος ἐπαγγέλλεται. περὶ τοῦ κολοβωθήσεσθαι τὰς ἡμέρας τῆς τοῦ Ἀντιχρίστου βασιλείας, ὡς ὁ σωτὴρ λέγει, δηλοῖ καὶ ὁ Δανιήλ, ἐξαριθμῶν τὰς ἡμέρας τῶν τριῶν καὶ ἡμίσεως ἐτῶν ΑϹϞ, *καὶ ἐπὶ ταύταις ἄλλας* ΜΕ. *ἀπὸ τοῦ Καὶ ἀπὸ καιροῦ παραλλάξεως τοῦ ἐνδελεχισμοῦ, ἕως τοῦ Καὶ ἀναστήσει εἰς τὸν καιρόν σου εἰς συντέλειαν ἡμερῶν.*

VI.

Qui inter Epiphanii opera eaque suspectae non modo fidei sed etiam originis a Petavio editus est libellus de prophetarum vitis, is in duobus codicibus Coislinianis, utroque decimi fere saeculi, inventus est. Alter numero CXX, alter numero CCXXIV. a Montefalconio signatur. Qui quum et inter se scriptura valde discrepent et ab editione Petavii longe discedant, non abs re esse visum est utriusque textum plene edere. Edemus autem ita ut codicum scripturam quamvis vitiosam maxime in nominibus propriis lectoribus ante oculos ponamus.

ΕΠΙΦΑΝΙΟΥ

ΠΕΡΙ ΤΩΝ ΙϚ ΠΡΟΦΗΤΩΝ· ΠΟΘΕΝ ΗΣΑΝ ΚΑΙ ΠΟΥ ΕΤΕΛΕΙΩΘΗΣΑΝ.[1]

(Ἐνταῦθα ἀναγράφονται τὰ ὀνόματα καὶ αἱ προσηγορίαι τῶν ἁγίων καὶ ἐνδόξων προφητῶν, καὶ ὁποίας χώρας ἕκαστος αὐτῶν ὑπάρχει καὶ ὅπου ἐτελειώθη, καὶ ἔνθα κατετέθη τὰ τίμια αὐτῶν λείψανα.)

Α. Ὠσιὲ υἱὸς Βεϊρὶ ἦν ἐκ Βελεμώθ, φυλῆς Ἰσαχάρ, καὶ θανὼν ἐτάφη ἐν τῇ γῇ αὐτοῦ ἐν εἰρήνῃ. καὶ ἔδωκεν τέρας ἥξειν (cod. ἧξαι) τὸν κύριον ἐπὶ τῆς γῆς, ἐάν, φησίν, ἡ δρῦς ἡ ἐν Σιλὼμ μερισθῇ εἰς ιβ ἀφ' ἑαυτῆς καὶ γένωνται δρύες ιβ.

(Ε.[2]) Ὠσηέ· οὗτος ἦν ἐκ Βαλεμώθ, τῆς φυλῆς Ἰσάχαρ, ὃς πολλὰ προεφήτευσε κατὰ τοῦ Ἰσραήλ, καὶ ἀπέθανε καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ ἐν εἰρήνῃ. καὶ ἔδωκε τέρας ἥξειν τὸν κύριον ἐπὶ γῆς ἀνθρώποις συναναστρεφόμενον. ὅτε δὲ δύῃ ὁ ἥλιος ἐν Σηλὼμ καὶ μερισθῇ ἡ δρῦς ἡ ἐν Σιλωὰμ ἀφ' ἑαυτῆς εἰς δώδεκα μέρη, γενηθήσονται δώδεκα δρύες.)

Β. Ἀμῶς (sic) ἦν ἐκ Θεκουέ, καὶ ἀνῃρέθη ὑπὸ τοῦ υἱοῦ Ἀμασίου, πλήξας αὐτὸν ἐν ῥομφαίᾳ κατὰ τὸν κρόταφον. καὶ ἔτι ἐμπνέων ἦλθεν εἰς τὴν γῆν αὐτοῦ, καὶ μεθ' ἡμέρας γ τελευτήσας ἐτάφη ἐκεῖ.

(Ϛ. Ἀμὼς ἦν ἐκ Θεκουέ, καὶ Ἀμεσίου αὐτὸν συχνῶς τυμπανίσαντος, τέλος ἀνεῖλεν αὐτὸν Ἀμὼς ὁ υἱὸς αὐτοῦ ῥοπάλῳ, πλήξας αὐτοῦ τὸν κρόταφον. καὶ ἔτι ἐμπνέων ἦλθεν εἰς τὴν γῆν αὐτοῦ, καὶ μεθ' ἡμέρας δύο ἀπέθανε, καὶ ἐτάφη ἐκεῖ.)

Γ. Μιχαίας υἱὸς Ἰεραμῶς ὁ Μωραθίτης γέγονεν ἐκ φυλῆς Ἐφραίμ, καὶ πολλὰ ποιήσας τῷ Ἀχαάβ, ὑπὸ Ἰωρὰμ τοῦ υἱοῦ αὐτοῦ ἀνῃρέθη κρημνῷ, ὅτι ἤλεγχεν αὐτὸν ἐπὶ ταῖς ἀσεβείαις τῶν πατέρων αὐτοῦ· καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ.

(Ι. Μιχαίας ἦν ἀπὸ Μοραθὶ ἐκ φυλῆς Ἐφραίμ. οὗτος πολλὰ ποιήσας τῷ Ἀχαάβ, ὑπὸ Ἰωρὰμ τοῦ υἱοῦ αὐτοῦ ἀνῃρέθη κρημνῷ ῥιφείς, ὅτι ἤλεγχεν αὐτὸν ἐπ' ἀσεβείαις πατέρων αὐτοῦ· καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ μόνος, σύνεγγυς τοῦ πολυανδρίου Ἐνμαχείμ (corr. est -χίμ).)

Δ. Ἰωὴλ υἱὸς Βαθουὴλ ἦν ἐκ φυλῆς Ῥουβὶμ ἐξ ἀγροῦ Θεβορῶν· καὶ θανὼν ἐν εἰρήνῃ ἐτάφη ἐκεῖ.

(Ζ. Ἰωὴλ ἦν ἐκ φυλῆς τοῦ Ῥουβὶμ ἀγροῦ τοῦ Βεθωρῶν· καὶ ἀπέθανεν ἐν εἰρήνῃ καὶ ἐτάφη ἐκεῖ.)

Ϛ. Ἀβδιοῦ ἦν ἐκ γῆς Συχέμ, ὁ καὶ τρίτος πεντηκόνταρχος οὗ ἐφείσατο Ἠλίας· καὶ κατέβη πρὸς

[1]) Hic titulus in cod. CXX. habetur, nisi quod pro Ἐπιφανίου, quod iam praecessit, τοῦ αὐτοῦ positum est. Textum codicis CCXXIV. ubiqne lunulis inclusum apponemus.

[2]) In codice CCXXIV. singulorum prophetarum ordo hic est: Α. Ἡσαΐας, Β. Ἰερεμίας, Γ. Ἰεζεκιήλ, Δ. Δανιήλ, Ε. Ὠσηέ etc.

'Οχοζίαν· μετὰ δὲ ταῦτα ἀπολείπων τὴν λειτουργίαν τοῦ βασιλέως προεφήτευσεν· καὶ θανὼν ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ.

(*Η. 'Αβδιοῦ ἦν ἐκ γῆς Συχέμ, ἀγροῦ Βηθαρχαάμ. οὗτος ἦν μαθητὴς 'Ηλία, καὶ πολλὰ ὑπομείνας δι' αὐτὸν περισώζεται. οὗτος ἦν ὁ τρίτος πεντηκόνταρχος, οὗ ἐφείσατο 'Ηλίας· καὶ κατέβη πρὸς 'Οχοζίαν· καὶ μετὰ ταῦτα ἀπολιπὼν τὴν λειτουργίαν τοῦ βασιλέως προεφήτευσε· καὶ ἀπέθανε, καὶ ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ.*)

Ε. 'Ιωνᾶς υἱὸς 'Αμαθὴ ἦν ἐκ γῆς Καριαθιαρὶμ πλησίον 'Αζώτου πόλεως κατὰ θάλασσαν· καὶ ἐκβρασθεὶς ἐκ τοῦ κήτους καὶ ἀπελθὼν εἰς Νηνευὴ καὶ ἀνακάμψας οὐκ ἔμεινεν εἰς τὴν γῆν αὐτοῦ, ἀλλὰ παραλαβὼν τὴν μητέρα αὐτοῦ παρῴκησεν τὴν Σοὺρ χώραν τῶν ἀλλοφύλων. ἔλεγεν γὰρ ὅτι οὕτως ἀφελῶ ὄνειδός μου, ὅτι ἐψευσάμην προφητεύσας κατὰ Νηνευὴ τῆς πόλεως. ἦν δὲ τότε ἐλέγχων 'Ηλίας τὸν 'Αχαάβ, καὶ καλέσας λιμὸν ἐπὶ τὴν γῆν ἔφυγεν. καὶ ἐλθὼν εὗρεν τὴν χήραν μετὰ τοῦ υἱοῦ αὐτῆς· οὐ γὰρ ἠδύνατο μένειν μετὰ ἀπεριτμήτων. καὶ εὐλόγησεν αὐτήν, καὶ θανόντα τὸν υἱὸν αὐτῆς 'Ιωνᾶν πάλιν ἐκ νεκρῶν ὁ θεὸς διὰ τοῦ 'Ηλία ἀνέστησεν· ἠθέλησεν γὰρ δεῖξαι αὐτῷ ὅτι οὐ δύναται ἀποδρᾶσαι (sic, alter cod. *-ά-*) *θεόν. καὶ μετὰ τὸν λιμὸν ἐλθὼν ἐν τῇ γῇ 'Ιούδα ἐν Σαὰρ καὶ θανὼν ἐτάφη ἐκεῖ. καὶ ἔδωκεν τέρας ἐπὶ 'Ιερουσαλὴμ λέγων· Ὅτε ἴδωσιν λίθον βοῶντα οἰκτρῶς, ἐγγίζει τὸ τέλος· ὅτε δὲ ἴδωσιν ἐν 'Ιερουσαλὴμ πάντα τὰ ἔθνη, τότε ἡ πόλις ἐδαφισθήσεται.*

(*Θ. 'Ιωνᾶς ἦν ἐκ γῆς Καριαθιαρὶμ πλησίον 'Αζώτου πόλεως 'Ελλήνων κατὰ θάλασσαν· καὶ ἐκβρασθεὶς ἐκ τοῦ κήτους καὶ ἀπελθὼν εἰς Νινευὴ καὶ ἀνακάμψας εἰς τὴν γῆν αὐτοῦ οὐκ ἔμεινεν, ἀλλὰ παραλαβὼν τὴν μητέρα αὐτοῦ παρῴκησε τὴν 'Ιὼρ χώραν ἀλλοφύλων ἐθνῶν. ἔλεγεν γὰρ ὅτι οὕτως ἀφελῶ τὸ ὄνειδός μου, ὅτι ἐψευσάμην προφητεύσας κατὰ Νινευὴ τῆς πόλεως τῆς μεγάλης. ἦν δὲ τὸ τηνικαῦτα 'Ηλίας ἐλέγχων τὸν οἶκον 'Αχαάβ, καὶ καλέσας λιμὸν ἐπὶ τὴν γῆν ἔφυγεν. καὶ ἀπελθὼν εὗρε τὴν χήραν μετὰ τοῦ υἱοῦ αὐτῆς, καὶ ἔμεινε παρ' αὐτοῖς· οὐ γὰρ ἠδύνατο μένειν μετὰ ἀπεριτμήτων. καὶ εὐλόγησεν αὐτὴν διὰ τὴν ξενοδοχίαν αὐτῆς· ἦν γὰρ γινώσκων αὐτὴν ἐκ πολλοῦ. θανόντα δὲ τὸν υἱὸν αὐτῆς 'Ιωνᾶν πάλιν ἤγειρεν ὁ θεὸς διὰ τοῦ 'Ηλίου, δεικνὺς αὐτῷ ὅτι οὐδὲ θανὼν δύναται ἀποδράσαι θεόν. καὶ ἀναστὰς 'Ιωνᾶς μετὰ τὸν λιμὸν ἦλθεν εἰς γῆν 'Ιούδα· θανοῦσαν δὲ τὴν μητέρα αὐτοῦ ἔθαψε κατὰ τὴν ὁδὸν ἐχόμενα τῆς βαλάνου Δεβώρρας. καὶ κατοικήσας ἐν γῇ Σαὰρ ἀπέθανε, καὶ ἐτάφη ἐν τῷ σπηλαίῳ Καινεζιοῦ κριτοῦ γενομένου μιᾶς φυλῆς ἐν ἡμέραις τῆς ἀναρχίας. καὶ ἔδωκε τέρας ἐπὶ 'Ιερουσαλὴμ καὶ ἐφ' ὅλην τὴν γῆν· ὅταν ἴδωσι λίθον βοῶντα οἰκτρῶς, ἐγγίζειν τὸ τέλος· καὶ ὅτε ἴδωσιν 'Ιερουσαλὴμ πάντα τὰ ἔθνη, ὅτι ἡ πόλις ἠφανίσθη ὅλη ἕως ἐδάφους, καὶ μετατεθήσονται οἱ λίθοι αὐτῆς κατὰ δυσμὰς ἡλίου, ἐκεῖ ἔσται ἡ προσκύνησις τοῦ εἰλημμένου.*)

Ζ. Ναοὺμ υἱὸς 'Ελκεσαίου ἦν ἀπὸ 'Ιεσβῆ φυλῆς Συμεών, καὶ μετὰ τὸν 'Ιωνᾶν τῇ Νηνευὴ τέρας ἔδωκεν, ὅτι ὑπὸ ὑδάτων καὶ πυρὸς ὑπογείου ἀπολεῖται. ὅπερ καὶ γέγονεν· ἡ γὰρ περιέχουσα αὐτὴν λίμνη κατέλυσεν (sic, rectius alter) *ἐν σεισμῷ, καὶ πῦρ ἐκ τῆς ἐρήμου ἐξῆλθεν καὶ τὸ ὑψηλότερον αὐτῆς ἐνεπύρησεν μέρος. καὶ θανὼν ἐτάφη ἐν τῇ γῇ αὐτοῦ.*

(*ΙΑ. Ναοὺμ ἦν ἀπὸ 'Ελκεσὲμ πέραν τοῦ Βηταβαρὴμ φυλῆς Συμεών. οὗτος μετὰ 'Ιωνᾶν τῇ Νινευὴ τέρας ἔδωκεν, ὅτι ὑπὸ ὑδάτων γλυκέων καὶ πυρὸς ὑπογείου ἀπολεῖται. ὃ καὶ γέγονεν· ἡ γὰρ περιέχουσα αὐτὴν λίμνη κατέκλυσεν αὐτὴν ἐν σεισμῷ, καὶ πῦρ ἐπελθὸν ἐκ τῆς ἐρήμου τὸ ὑψηλότερον αὐτῆς μέρος ἐνέπρησεν. ἀπέθανε δὲ ἐν εἰρήνῃ, καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ.*)

Η. Ἀμβακοὺμ ἦν ἐξ ἀγροῦ Βιδζουχάρ, φυλῆς Συμεών. καὶ ἴδεν πρὸ τῆς αἰχμαλωσίας περὶ τῆς ἁλώσεως Ἱερουσαλήμ, καὶ ἐπένθησεν σφόδρα· καὶ ὅτε ἦλθεν Ναβουχοδονόσορ ἐν Ἱερουσαλήμ, ἔφυγεν εἰς ὀστρακίνην, καὶ ἦν πάροικος ἐν γῇ Ἰσμαήλ. ὡς δὲ ἐπέστρεψαν οἱ Χαλδαῖοι καὶ οἱ κατάλοιποι οἱ ὄντες ἐν Ἱερουσαλὴμ κατέβησαν εἰς Αἴγυπτον, ἦν οὗτος (cod. *οὕτως*) *παροικῶν τὴν γῆν αὐτοῦ καὶ λειτουργῶν θερισταῖς τοῦ λαοῦ αὐτοῦ. ὡς δὲ ἔλαβεν τὸ ἔδεσμα ἀπενέγκαι τοῖς ἐργάταις, προεφήτευσεν τοῖς ἰδίοις εἰπών Πορεύομαι εἰς γῆν μακράν, καὶ ταχέως ἐλεύσομαι. ἐὰν δὲ βραδύνω, ἀπενέγκατε τοῖς θερισταῖς τὸ ἄριστον αὐτῶν. καὶ γενόμενος ἐν Βαβυλῶνι καὶ δοὺς τὸ ἄριστον τῷ Δανιήλ, ἐπέστη τοῖς θερισταῖς ἐσθίουσι, καὶ οὐδενὶ εἶπεν τὸ γεγονός· συνῆκεν δὲ ἐκ τούτου ὅτι τάχειον ἐπιστρέψει ὁ λαὸς ἐκ Βαβυλῶνος. καὶ πρὸ δύο ἐτῶν τῆς ἐπιστροφῆς θανὼν ἐτάφη ἐκεῖ ἐν ἀγρῷ. ἔδωκεν δὲ τέρας τοῖς ἐν τῇ Ἰουδαίᾳ, ὅτι ὄψονται ἐν τῷ ναῷ φῶς καὶ οὕτως ἴδωσιν τὴν δόξαν τοῦ ναοῦ. καὶ περὶ τῆς συντελείας τοῦ ναοῦ προεῖπεν ὅτι ὑπὸ ἔθνους δυτικοῦ γενήσεται, καὶ τότε τὸ ἅπλωμα, φησίν, τοῦ Διαβὴρ* (sic) *εἰς μικρὰ διαρραγήσεται, καὶ τὰ ἐπίκρανα τῶν δύο στύλων ἀφαιρεθήσεται, καὶ οὐδεὶς γνώσεται ποῦ ἔσονται· ταῦτα δὲ ἐν τῇ ἐρήμῳ ἀπενεχθήσονται ὑπὸ ἀγγέλου, ὅπου ἐν ἀρχῇ ἐπάγη ἡ σκηνὴ τοῦ μαρτυρίου, καὶ τοῖς ἐπὶ τέλει γνωσθήσεται κύριος.*

(*ΙΒ. Ἀμβακοὺμ ἐκ φυλῆς ἦν Συμεὼν ἐξ ἀγροῦ Βηθωαχάρ. οὗτος εἶδεν πρὸ τῆς αἰχμαλωσίας περὶ τῆς ἁλώσεως τῆς Ἱερ. καὶ τοῦ ναοῦ, καὶ ἐπένθησε σφόδρα. καὶ ὅτε ἦλθεν ὁ Ναβουχοδονόσορ εἰς Ἱερ., ἔφυγεν - - - Ἰσμαήλ. ὡς δὲ ὑπέστρεψαν οἱ Χαλδαῖοι καὶ οἱ κατάλοιποι οἱ ὄντες ἐν Ἱερ. κατέβησαν εἰς Αἴγυπτον, ἦν παροικῶν τὴν γῆν αὐτοῦ, καὶ ἐλειτούργει τοῖς θερισταῖς τοῦ ἀγροῦ αὐτοῦ. ὡς δὲ ἔλαβε τὸ ἔδεσμα, προεφήτευσε τοῖς ἰδίοις αὐτοῦ εἰπών --- ἀπενέγκατε τὸ ἄριστον τοῖς θερισταῖς. καὶ γενόμενος --- δοὺς τὸν* (sic) *ἄριστον τῷ Δανιήλ, ἐπέστη τοῖς θερισταῖς ἐσθίουσι, καὶ οὐδενὶ εἶπεν τὸ γενόμενον· συνῆκε δὲ ὅτι τάχιον ἐπιστρέψει ὁ λαὸς ἐκ τῆς αἰχμαλωσίας τῆς εἰς Βαβυλῶνα. καὶ πρὸ β' ἐτῶν τῆς ἐπιστροφῆς ἀποθνήσκει, καὶ ἐτάφη ἐν ἀγρῷ ἰδίῳ μόνος. ἔδωκε δὲ τέρας - - - φῶς, καὶ οὕτως ὄψονται τὴν δόξαν τοῦ θεοῦ· καὶ περὶ συντελείας τοῦ ναοῦ προεῖπεν ὅτι ὑπὸ ἔθνους δυτικοῦ ῥαγήσεται. τότε καὶ τὸ ἅπλωμα τοῦ Δαβήρ, φησίν, εἰς μικρὰ ῥήγματα ῥαγήσεται, καὶ τὰ ἐπίκρανα τῶν δύο στύλων ἀφαιρεθήσονται, καὶ οὐδεὶς γνώσεται ποῦ ἔσονται· αὐτὰ δὲ ἐν τῇ ἐρήμῳ ἀπενεχθήσονται ὑπὸ ἀγγέλων, ὅπου ἐν ἀρχῇ ἦν ἡ σκηνὴ τοῦ μαρτυρίου· ἐν αὐτοῖς γνωσθήσεται ἐπὶ τέλει κύριος, τοῖς διωκομένοις ὑπὸ τοῦ ὄφεως, ὡς ἐξ ἀρχῆς ἦν.*)

Θ. Σοφονίας υἱὸς Χουσῆ ἦν ἐξ ἀγροῦ Σαβαραθά, φυλῆς Συμεών· προεφήτευσεν δὲ περὶ τῆς πόλεως καὶ περὶ τοῦ τέλους τῶν ἐθνῶν καὶ τῆς αἰσχύνης τῶν ἀσεβῶν. καὶ τελευτήσας ἐτάφη ἐν ἀγρῷ αὐτοῦ.

(*ΙΓ. Σοφονίας ἦν ἐκ φυλῆς Συμεὼν ἐξ ἀγροῦ Σαβαραθά. οὗτος προεφήτευσε περὶ τῆς πόλεως καὶ περὶ τέλους ἐθνῶν καὶ αἰσχύνης ἀσεβῶν. καὶ θανὼν ἐτάφη ἐν ἀγρῷ αὐτοῦ.*)

Ι. Ἀγγαῖος νέος ἦλθεν ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλήμ, καὶ φανερῶς περὶ τῆς ἐπιστροφῆς τοῦ λαοῦ προεφήτευσεν, καὶ ἴδεν ἐκ μέρους τὴν οἰκοδομὴν τοῦ ναοῦ. καὶ θανὼν ἐτάφη ἐνώπιον τοῦ τάφου τῶν ἱερέων ἐνδόξως.

(*ΙΔ. Ἀγγαῖος μικρὸς ἦλθεν ἐκ Βαβυλῶνος - - - προεφήτευσε, καὶ εἶδεν ἐκ μέρους τὴν οἰκοδομὴν τοῦ ναοῦ. καὶ θανὼν ἐτάφη πλησίον τοῦ τάφου τῶν ἱερέων ἐνδόξως· ἦν γὰρ καὶ αὐτὸς ἐκ γένους ἀρχιερατικοῦ.*)

ΙΑ. Ζαχαρίας υἱὸς Βαραχίου ἦλθεν ἀπὸ Χαλδαίων εἰς Ἱερουσαλήμ, ἤδη προβεβηκώς, κἀκεῖ τῷ λαῷ πολλὰ προεφήτευσεν καὶ τέρατα ἔδωκεν εἰς ἀπόδειξιν. ὃς καὶ τῷ Ἰωσεδὲκ εἶπεν ὅτι γεννήσεις υἱόν, καὶ

ἐν Ἱερουσαλὴμ ἱερατεύσει· καὶ τὸν Σαλαθιὴλ ἐπὶ υἱῷ εὐλόγησεν καὶ τὸ ὄνομα Ζοροβάβελ ἐπέθηκεν· καὶ ἐπὶ Κύρου τέρας ἔδωκεν εἰς νῖκος, καὶ περὶ τῆς λειτουργίας αὐτοῦ προηγόρευσεν ἣν ποιήσει ἐν Ἱερουσαλήμ, καὶ εὐλόγησεν αὐτόν· καὶ περὶ τέλους ἐθνῶν καὶ Ἰσραὴλ καὶ τοῦ ναοῦ καὶ ἀργίας προφητῶν καὶ ἱερέων προεφήτευσεν. ἀπέκτεινεν δὲ αὐτὸν Ἰωὰς βασιλεὺς Ἰούδα μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, παραινοῦντα αὐτῷ τε καὶ τῷ λαῷ ἀπέχεσθαι τῆς ἀσεβείας καὶ ἐπιστρέφειν πρὸς θεόν· καὶ λαβόντες αὐτὸν οἱ ἱερεῖς ἔθαψαν μετὰ τοῦ πατρὸς αὐτοῦ. καὶ ἀπὸ τότε ἐγίνοντο τέρατά τε ἐν τῷ ναῷ πολλὰ φαντασιώδη. καὶ οὐκ ἴσχυον οἱ ἱερεῖς ἰδεῖν ὀπτασίαν ἀγγέλων θεοῦ οὔτε δοῦναι χρησμοὺς ἐκ τοῦ Δαβὴρ οὔτε διὰ τῶν δήλων ἀποκριθῆναι ἐν τῷ λαῷ ὡς τὸ πρίν.

(ΙΕ. Ζαχαρίας ἦλθεν ἐκ γῆς Χαλδαίων, ἤδη προβεβηκώς, κἀκεῖ τῷ λαῷ πολλὰ προεφήτευσε καὶ τέρατα ἔδωκεν εἰς ἀπόδειξιν. οὗτος εἶπεν τῷ Ἰωσεδὲκ ὅτι γεννήσει υἱόν, καὶ ἐν Ἱερ. ἱερατεύσει. οὗτος καὶ τὸν Σαλαθιὴλ ἐπὶ υἱῷ ηὐλόγησε, καὶ τὸ ὄνομα αὐτοῦ Ζοροβάβελ ἐπέθηκε· καὶ ἐπὶ Κύρου - - ποιήσει ἐπὶ Ἱερουσαλήμ, καὶ περὶ τέλους ἐθνῶν, καὶ εὐλόγησεν αὐτὸν σφόδρα. τὰ δὲ τῆς προφητείας εἶδεν ἐν Ἱερουσαλήμ, καὶ [περὶ] τοῦ ναοῦ καὶ ἀργίας προφητῶν καὶ ἱερέων καὶ περὶ διπλῆς κρίσεως ἐξέθετο [1]). καὶ ἀπέθανεν ἐν γήρει (corr. est γήρᾳ) μακρῷ ἐκλείπων, καὶ ἐτάφη σύνεγγυς τοῦ Ἀγγαίου.)

ΙΒ. Μαλαχίας μετὰ τὴν ἐπιστροφὴν τοῦ λαοῦ τίκτεται ἐν Σωχά, ὃς νέος ὢν βίον εἶχεν καλὸν πάνυ. καὶ ἐπειδὴ πᾶς ὁ λαὸς ἐτίμα αὐτὸν ὡς ἅγιον, ἐκάλεσαν αὐτὸν Μαλαχίαν, ὅ ἐστιν ἄγγελος. ἦν γὰρ καὶ τῷ εἴδει εὐπρεπὴς καὶ τῷ λόγῳ πληρωτής (corrige πληρωθείς?)· ὅσα γὰρ εἶπεν αὐτοῖς ἐν προφητείᾳ, αὐτῇ τῇ ἡμέρᾳ ὀφθεὶς ἄγγελος κυρίου ἐβεβαίωσεν. καὶ ἔτι νέος ὢν ἐτελειώθη, καὶ ἐτάφη ἐν ἀγρῷ αὐτοῦ.

(ΙϚ. Μαλαχίας· οὗτος τίκτεται ἐν Γοφᾶ μετὰ τὴν ἐπιστροφὴν τοῦ λαοῦ, καὶ ἔτι πάνυ νέος ὢν καλὸν βίον ἔσχηκε. καὶ ἐπειδὴ πᾶς ὁ λαὸς ἐτίμα αὐτὸν ὡς ὅσιον καὶ πρᾶον, ἐκάλεσεν αὐτὸν Μαλαχίαν, ὃ ἑρμηνεύεται ἄγγελος· ἦν γὰρ καὶ τῷ εἴδει εὐπρεπής· ἀλλὰ καὶ ὅσα εἶπεν αὐτὸς ἐν προφητείᾳ, αὐτῇ τῇ ἡμέρᾳ ὀφθεὶς ὡς ἄγγελος θεοῦ ἐπεδευτέρωσεν, ὡς ἐγένετο ἐν ἡμέραις τῆς ἀναρχίας, ὡς γέγραπται ἐν σαφὰρ φωτήμ, τουτέστιν ἐν βίβλῳ κριτῶν. καὶ ἔτι νέος ὢν προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ ἐν ἀγρῷ αὐτοῦ.)

ΙΓ. Ἡσαΐας υἱὸς Ἀμὼς ἦν ἀπὸ Ἱερουσαλήμ· ἀναιρεθεὶς δὲ ὑπὸ Μανασσῆ, πρισθεὶς εἰς δύο, ἐτάφη ὑποκάτω δρυὸς Ῥωγήλ, πλησίον τῆς διαβάσεως τῶν ὑδάτων ὧν ἀπόλεσεν (sic) Ἐζεκίας χώσας αὐτά. καὶ ὁ θεὸς τὸ σημεῖον τοῦ Σιλωὰμ διὰ τὸν προφήτην ἐποίησεν, ὅτι πρὸ τοῦ θανεῖν ὀλιγορήσας ηὔξατο πιεῖν ὕδωρ, καὶ εὐθέως ἀπεστάλη αὐτῷ ἐξ αὐτοῦ. καὶ διὰ τοῦτο ἐπεκλήθη Σιλωάμ, ὅ ἐστιν ἀπεσταλμένος. καὶ Ἐζεκίας ἐπὶ τῶν εὐχῶν τούτου ἐποίησεν τοὺς λάκκους καὶ τὰς κολυμβήθρας. μικρὸν γὰρ ἦν ὕδωρ ἐξεληλυθός, ὅτε ἦν ὁ λαὸς ἐν συγκλεισμῷ ἀλλοφύλων· καὶ ἵνα μὴ διαφθαρῇ ἡ πόλις ὡς μὴ ἔχουσα ὕδωρ, ἐποίησεν τοῦτο. καὶ ὅταν οὖν ἤρχοντο οἱ πολέμιοι ἀντλῆσαι, οὐκ ἤρχετο ὕδωρ· ὅταν δὲ Ἰουδαῖοι ἤρχοντο, ἤρχετο καὶ τὸ ὕδωρ. ὅθεν ἕως τοῦ νῦν αἰφνίδιον ἐξέρχεται τὸ ὕδωρ, ἵνα δειχθῇ τὸ μυστήριον τοῦ θεοῦ. καὶ ἐπειδὴ διὰ τοῦ Ἡσαΐου τοῦτο γέγονεν, μνήμης χάριν καὶ ὁ λαὸς πλησίον αὐτὸν ἔθαψεν ἐνδόξως, ἵνα διὰ τῶν εὐχῶν αὐτοῦ (in marg. additur καὶ μετὰ θάνατον αὐτοῦ) ὡσαύτως ἔχωσιν τὴν ἀπόλαυσιν τοῦ ὕδατος, ὅτι χρησμὸς ἐδόθη αὐτοῖς περὶ τούτου. ἔστιν δὲ ὁ τάφος ἐχόμενα τοῦ τάφου τῶν βασιλέων ὄπιθεν τοῦ τάφου τῶν ἱερέων ἐπὶ τὸ μέρος τὸ πρὸς νότον. Σολομὼν γὰρ ἐποίησεν τοὺς τάφους τοῦ Δαυὶδ διαγράψαντος κατὰ ἀνατολὰς τῆς Σιών, ἥτις ἔχει εἴσοδον ἀπὸ Γαβαώ (sic), μήκοθεν τῆς πόλεως σταδίους κ'· καὶ ἐποίησεν σκολιὰν σύνθεσιν

[1]) His parum concinne scriptis multo praestat alterius codicis scriptura.

ἀνυπονόητον, καὶ ἔστιν ἕως τοῦ νῦν τοῖς πολλοῖς ἀγνοουμένη. ἐκεῖ εἶχεν ὁ βασιλεὺς τὸ χρυσίον τὸ ἐξ Αἰθιοπίας καὶ τὰ ἀρώματα. καὶ ἐπειδὴ Ἐζεκίας ἔδειξεν τοῖς ἔθνεσι τὸ μυστήριον Δαυὶδ καὶ Σολομῶντος, καὶ ἐμίανεν ὀστᾶ πατέρων αὐτοῦ, διὰ τοῦτο ὁ θεὸς ἐπαράσατο εἰς δουλείαν τὸ σπέρμα αὐτοῦ τοῖς ἐχθροῖς αὐτοῦ, καὶ ἄκαρπον ἐποίησεν ὁ θεὸς ἀπὸ τῆς ἡμέρας ἐκείνης.

(*Α. Ἡσαΐας ὁ μέγας προφήτης ἦν ἀπὸ Ἱερουσαλήμ, θνήσκει δὲ πρισθεὶς ὑπὸ Μανασῆ βασιλέως υἱοῦ Ἐζεκίου, καὶ ἐτέθη ὑποκάτω δρυὸς Ῥωγὴλ ἐχόμενα τῆς διαβάσεως τῶν ὑδάτων ὧν ἀπώλεσεν Ἐζεκίας ὁ βασιλεὺς καταχώσας αὐτά. καὶ ὁ θεὸς τὸ σημεῖον τοῦ Σιλωὰμ ἐποίησε διὰ τὸν προφήτην, ὅτι πρὸ τοῦ ἀποθανεῖν ὀλιγωρήσας ηὔξατο πιεῖν ὕδωρ, καὶ εὐθέως ἀπεστάλη αὐτῷ ἐξ αὐτοῦ. διὰ τοῦτο ἐκλήθη Σιλωάμ, ὃ ἑρμηνεύεται ἀπεσταλμένος. καὶ ἐπὶ τοῦ Ἐζεκίου δὲ πρὸ τοῦ ποιῆσαι αὐτὸν τοὺς λάκκους καὶ τὰς κολυμβήθρας, ἐπὶ τῇ εὐχῇ τοῦ Ἡσαΐου μικρὸν ὕδωρ ἐξελήλυθεν, ὅτι ἦν ἡ πόλις ἐν συγκλεισμῷ ἀλλοφύλων, καὶ ἵνα μὴ διαφθαρῇ ἡ πόλις ὡς μὴ ἔχουσα ὕδωρ. ἠρώτων γὰρ οἱ πολέμιοι πόθεν πίνουσι· διὸ καὶ ἐχαράκωσαν τὴν πόλιν, καὶ παρεκαθέζοντο τῷ Σιλωάμ. ὅταν οὖν ἤρχοντο σὺν τῷ Ἡσαΐᾳ οἱ Ἰουδαῖοι, ἄφνω ἐξήρχετο τὸ ὕδωρ· ἐπὰν δὲ οἱ ἀλλόφυλοι ἤρχοντο, οὐκ ἐξήρχετο τὸ ὕδωρ. διὸ καὶ ἕως σήμερον αἰφνιδίως ἐξέρχεται, καὶ κατὰ τὴν ὥραν ἣν ἤρχετο Ἡσαΐας τότε σὺν τοῖς Ἰουδαίοις, ἵνα δειχθῇ τὸ μυστήριον. καὶ ἐπειδὴ διὰ τοῦ Ἡσαΐου τοῦτο γέγονε, μνήμης αὐτοῦ χάριν καὶ ὁ λαὸς πλησίον τοῦ Σιλωὰμ ἐπιμελῶς ἔθαψεν αὐτὸν καὶ ἐνδόξως· ὅπως διὰ τῶν εὐχῶν αὐτοῦ καὶ μετὰ θάνατον αὐτοῦ ἔχωσιν ὡς αὐτὸς τὴν ἀπόλαυσιν τοῦ ὕδατος· ὅτι καὶ χρησμὸς ἐδόθη αὐτοῖς περὶ τοῦ ὕδατος. ἔστι δὲ ὁ τάφος αὐτοῦ ἐχόμενα τοῦ τάφου τῶν βασιλέων ὄπισθεν τοῦ τάφου τῶν ἱερέων ἐπὶ τὸ μέρος τὸ πρὸς νότον. Σολομῶν γὰρ ἐποίησε τοὺς τάφους τοῦ Δαυὶδ διαγράψαντος κατὰ ἀνατολὰς Σιών, ἥτις ἔχει εἴσοδον ἀπὸ Γαβαὼν μήκοθεν τῆς πόλεως σταδίους κ'· καὶ ἐποίησε σκολιὰν καὶ σύνθετον τὴν εἴσοδον καὶ ἀνυπονόητον τοῖς πολλοῖς. καὶ ἔστιν ἕως τῆς σήμερον τοῖς πολλοῖς ἀγνοουμένη τῶν ἱερέων καὶ ὅλῳ τῷ λαῷ. ἐκεῖ εἶχεν ὁ βασιλεὺς τὸ χρυσίον τὸ ἐξ Αἰθιοπίας καὶ τὰ ἀρώματα. καὶ ἐπειδὴ Ἐζεκίας ὁ βασιλεὺς ἔδειξε τὸ μυστήριον Δαυὶδ καὶ Σολομῶντος τοῖς ἔθνεσι τοῖς Βαβυλωνίοις καὶ ἐμίανε τὰ ὀστᾶ τοῦ τόπου τῶν πατέρων αὐτοῦ, διὰ τοῦτο ὁ θεὸς συνεχώρησεν εἰς δουλείαν ἔσεσθαι τὸ σπέρμα αὐτοῦ, τοῖς ἐχθροῖς αὐτοῦ, καὶ ἄκαρπον αὐτὸν ὁ θεὸς ἐποίησεν ἀπὸ τῆς ἡμέρας ἐκείνης.*)

ΙΔ. Ἱερεμίας ἦν ἐξ Ἀναθώθ, καὶ ἐν Τάφναις τῆς Αἰγύπτου λίθοις βληθεὶς ὑπὸ τοῦ λαοῦ ἀποθνήσκει. κεῖται δὲ πλησίον τῆς οἰκίας Φαραώ, ὅτι οἱ Αἰγύπτιοι ἐδόξασαν αὐτὸν εὐεργετηθέντες δι' αὐτοῦ· ηὔξατο γάρ, καὶ αἱ ἀσπίδες αὐτοὺς ἔασαν καὶ τῶν ὑδάτων οἱ θῆρες, οὓς καλοῦσιν οἱ Αἰγύπτιοι Μενεφώθ, Ἕλληνες δὲ κροκοδείλους, οἳ (cod. *οἰὼν*) *ἦσαν αὐτοὺς θανατοῦντες· καὶ εὐξαμένου τοῦ προφήτου ἐκωλύθησαν ἐκ τῆς γῆς ἐκείνης τὸ γένος τῶν ἀσπίδων, καὶ ἐκ τοῦ ποταμοῦ ὡσαύτως τὸ ἔνεδρον τῶν θηρίων. καὶ ὅσοι εἰσὶν πιστοὶ θεοῦ, ἕως τοῦ νῦν εὔχονται ἐν τῷ τόπῳ ὅπου κεῖται, καὶ λαμβάνοντες τοῦ χοὸς τοῦ τόπου δήγματα ἀσπίδων θεραπεύουσιν καὶ τὰ θηρία τοῦ ὕδατος φυγαδεύουσιν. ἡμεῖς δὲ ἠκούσαμεν ἐκ τῶν παίδων Ἀντιγόνου καὶ Πτολεμαίου γηρόντων τινῶν, ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν ἐπιστὰς τῷ τάφῳ τοῦ προφήτου καὶ ἐπιγνοὺς τὰ εἰς αὐτὸν μυστήρια, εἰς Ἀλεξάνδρειαν μετέστησεν αὐτοῦ τὰ λείψανα, περιστείλας αὐτὰ ἐνδόξως· καὶ ἐκωλύθη ἐκ τῆς γῆς τὸ γένος τῶν ἀσπίδων, καὶ ἐκ τοῦ ποταμοῦ ὡσαύτως τὰ θηρία.*

Οὗτος ὁ προφήτης σημεῖον δέδωκε τοῖς ἱερεῦσιν Αἰγύπτου, ὅτι δεῖ σεισθῆναι τὰ εἴδωλα αὐτῶν καὶ συμπεσεῖν τὰ χειροποίητα αὐτῶν, ὅταν ἐπιβῇ ἐν Αἰγύπτῳ παρθένος λοχεύουσα βρέφος θεοειδές. διὸ καὶ ἕως νῦν τιμῶσιν παρθένον λοχοῦν (sic) *καὶ βρέφος ἐν φάτνῃ τιθέντες προσκυνοῦσιν. καὶ Πτολεμαίῳ τῷ*

βασιλεῖ πυνθανομένῳ τὴν αἰτίαν ἔλεγον ὅτι πατροπαράδοτον ἡμῖν ἐστιν μυστήριον, ὑπὸ ὁσίου προφήτου τοῖς πατράσιν ἡμῶν παραδοθέν, καὶ ἐκδεχόμεθα τὸ πέρας τοῦ μυστηρίου ἡμῶν.

Οὗτος δὲ πρὸ τῆς ἁλώσεως τοῦ ναοῦ ἥρπασεν τὴν κιβωτὸν τοῦ νόμου καὶ τὰ ἐν αὐτῇ, καὶ ἐποίησεν αὐτὰ καταποθῆναι ἐν πέτρᾳ, λέγων τοῖς παρεστῶσιν Ἀπεδήμησεν κύριος ἐκ Σιὼν εἰς οὐρανόν, καὶ πάλιν ἐλεύσεται ἐν δυνάμει. καὶ σημεῖον ὑμῖν ἔστω τῆς παρουσίας αὐτοῦ, ὅτε ξύλον πάντα τὰ ἔθνη προσκυνήσωσιν. τὴν δὲ κιβωτὸν ταύτην οὐδεὶς ἐκβάλλει εἰ μὴ Ἀαρών· καὶ τὰς ἐν αὐτῇ πλάκας οὐδεὶς ἀναπτύσσει ἱερέων ἢ προφητῶν εἰ μὴ Μωσῆς ὁ ἐκλεκτὸς τοῦ θεοῦ. καὶ ἐν τῇ ἀναστάσει πρῶτον ἡ κιβωτὸς τοῦ θεοῦ ἀναστήσεται, καὶ ἐξελεύσεται ἐκ τῆς πέτρας καὶ τεθήσεται ἐν ὄρει Σινᾶ, καὶ τότε πάντες οἱ ἅγιοι συναχθήσονται ἐκεῖ, ἐκδεχόμενοι τὸν Χριστόν. ἐν δὲ τῇ πέτρᾳ ἐσφράγισεν τῷ δακτύλῳ αὐτοῦ τὸ ὄνομα τοῦ θεοῦ, καὶ γέγονεν ὁ τύπος ὡς γλυφὴ σιδήρου, καὶ νεφέλη ἐσκέπασεν τὸ ὄνομα, καὶ οὐδεὶς νοεῖ τὸν τόπον ἕως τῆς συντελείας. καὶ ἔστιν ἡ πέτρα ἐν τῇ ἐρήμῳ ὅπου πρῶτον ἡ κιβωτὸς γέγονεν μεταξὺ τῶν δύο ὀρέων ἐν οἷς κεῖται Μωσῆς καὶ Ἀαρών· καὶ ἐν νυκτὶ νεφέλη ὡς πῦρ γίνεται κατὰ τὸν τύπον τὸν ἀρχαῖον, ὅτι οὐ μὴ παύσηται ἡ δόξα τοῦ θεοῦ ἐκ τοῦ νόμου αὐτοῦ. καὶ ἔδωκεν ὁ θεὸς τῷ Ἱερεμίᾳ χάριν, ἵνα τὸ τέλος τοῦ μυστηρίου αὐτοῦ αὐτὸς ποιήσῃ, ὅπως γένηται κοινωνὸς Μωυσέως.

(B. Ἱερεμίας ἦν ἐξ Ἀναθώθ, καὶ ἐν Τάφναις Αἰγύπτου - - ἀποθνήσκει. κεῖται δὲ ἐν τόπῳ τῆς οἰκήσεως Φαραώ, ὅτι Αἰγύπτιοι - - ηὔξατο γάρ, καὶ αἱ ὀλοθρεύουσαι αὐτοὺς ἀσπίδες ἀπέθανον, καὶ τῶν ὑδάτων οἱ θῆρες, οὓς καλοῦσι μὲν Αἰγύπτιοι Νεφώθ, Ἕλληνες δὲ κροκοδείλους. καὶ ὅσοι εἰσὶ πιστοὶ θεοῦ, ἕως σήμερον εὔχονται ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ λαμβάνοντες τοῦ χοὸς τοῦ τόπου δήγματα ἀσπίδων θεραπεύουσιν. ἡμεῖς δὲ ἠκούσαμεν ἐκ τῶν παίδων Ἀντ. καὶ Πτολ. ἀνδρῶν γεγηρακότων, ὅτι Ἀλέξανδρος - - τὰ λείψανα, περιθεὶς αὐτὰ ἐνδόξως κύκλῳ· καὶ οὕτως ἐξωλοθρεύθησαν ἐκ τῆς γῆς ἐκείνης τὸ γένος τῶν ἀσπίδων, καὶ ἐκ τοῦ ποταμοῦ ὡσαύτως. καὶ τότε ἐνέβαλε τοὺς ὄφεις τοὺς λεγομένους ἀργολαίους, ὅ ἐστιν ὀφιομάχους, οὓς ἤνεγκαν ἐκ τοῦ Ἄργους τοῦ Πελασγικοῦ, ὅθεν καὶ ἀργολαῖοι καλοῦνται, τουτέστιν Ἄργους ἀριστεροί· λαιὸν γὰρ λέγουσι πᾶν εὐώνυμον.

Οὗτος ὁ Ἱερεμίας σημεῖον δέδωκε τοῖς ἱερεῦσιν Αἰγύπτου, ὅτι δεῖ σεισθῆναι τὰ εἴδωλα αὐτῶν καὶ πεσεῖν διὰ σωτῆρος παιδίου ἐκ παρθένου γεννωμένου ἐν φάτνῃ, καὶ διὰ τοῦτο ἕως νῦν θεοποιοῦσι παρθένον λοχόν (sic), *καὶ βρέφος ἐν φάτνῃ τιθέντες προσκυνοῦσι. καὶ Πτολεμαίῳ δὲ τῷ βασιλεῖ πυνθανομένῳ τὴν αἰτίαν ἔλεγον ὅτι πατροπαράδοτόν ἐστι τὸ μυστήριον, ὑπὸ - - παραδοθέν· καὶ ἐκδεχόμεθα, φησί, τὸ πέρας τοῦ μυστηρίου αὐτοῦ.*

Οὗτος ὁ προφήτης πρὸ τῆς - - καταποθῆναι ἐν τῇ πέτρᾳ, καὶ εἶπεν τοῖς παρεστῶσιν Ἀπεδήμησε κύριος ἐν Σινᾶ εἰς τὸν οὐρανόν, καὶ πάλιν ἐλεύσεται νομοθετῆσαι ἐν Σινᾶ ἐν δυνάμει. καὶ σημεῖον - - ὅτ' ἂν ξύλον - - προσκυνήσωσιν. εἶπεν δὲ ὅτι τὴν κιβωτὸν ταύτην οὐδεὶς ἐκβαλεῖ εἰ μὴ Ἀαρὼν μόνος ὁ ἱερεύς, καὶ τὰς - - ἀναπτύξει οὐκέτι, οὐχ ἱερέων οὐ προφητῶν, εἰ μὴ Μωυσῆς - - πρώτη ἡ κιβωτὸς ἀναστήσεται, καὶ ἐξελεύσεται καὶ τεθήσεται ἐν ὄρει Σινᾶ, καὶ πάντες οἱ ἅγιοι πρὸς αὐτὸν συναχθήσονται, ἐκδεχ. κύριον καὶ τὸν ἐχθρὸν φεύγοντες ἀνελεῖν αὐτοὺς ἐθέλοντα. ἐν δὲ τῇ - - καὶ ἐγένετο ὁ τύπος - - καὶ νεφέλη φωτεινὴ ἐσκέπασε - - νοήσει τὸν τόπον, οὐδὲ ἀναγνῶναι αὐτὸ δύναται ἕως τῆς ἡμέρας ἐκείνης. ἔστι δὲ ἡ πέτρα ἐν τῇ - - ὀρέων ὅπου κεῖνται Μωσῆς τε καὶ Ἀαρών. καὶ ἐν νυκτὶ ὡς πυρίνη νεφέλη γίνεται ἐπὶ τὸν τόπον κατὰ τὸν τύπον τὸν ἀρχαῖον.

ΙΕ. Ἰεζεκιὴλ υἱὸς Βουζῆ ἦν ἐν Σαριρά, ἐκ τῶν ἱερέων· καὶ ἀποκτείνας αὐτὸν ἡγούμενος τοῦ Ἰσραὴλ ἐν τῇ γῇ τῶν Χαλδαίων ἐπὶ τῆς αἰχμαλωσίας, ἐλεγχόμενος ὑπ' αὐτοῦ ἐπὶ εἰδώλων σεβάσμασιν, ἔθαψαν αὐτὸν ἐκεῖ ἐν ἀγρῷ Μαούρ, ἐν τῷ τάφῳ Σὴμ καὶ Ἀρφαξάθ, πολλὰ προφητεύσαντα τοῖς ἐν τῇ Ἰουδαίᾳ. καὶ ἔστιν ὁ τάφος σπήλαιον διπλοῦν, ὅτι καὶ ὁ Ἀβραὰμ εἰς Χεβρὼν πρὸς τὴν ὁμοιότητα αὐτοῦ ἐποίησεν τὸν τάφον Σάρρας. διπλοῦν δὲ λέγεται ὅτι εἱλικιῶδές ἐστιν καὶ ἀπόκρυφον ἐξ ἐπιπέδου ὑπερῷον.

Ἔδωκε δὲ τέρας τῷ λαῷ ὥστε προσέχειν τῷ ποταμῷ Χοβάρ, καὶ ὅτε ἐκλείποι, ἐλπίζειν τὸ δρέπανον τῆς ἐρημώσεως εἰς πέρας τῆς γῆς, καὶ ὅτε πλημμυρήσῃ, τὴν Ἱερουσαλὴμ ἐπάνοδον. καὶ γὰρ ἐκεῖ κατῴκει ὁ ὅσιος, καὶ πολλοὶ πρὸς αὐτὸν συνήρχοντο, ὥστε φοβεῖσθαι τοὺς Χαλδαίους μὴ ἀντάρωσι. διὸ καὶ ἐπῆλθον αὐτοῖς εἰς ἀναίρεσιν· καὶ ἐποίησεν στῆναι τὸ ὕδωρ, ἵνα ἐκφύγωσιν εἰς τὸ πέραν· καὶ οἱ τολμήσαντες τῶν ἐχθρῶν ἐπιδιῶξαι κατεποντίσθησαν. οὗτος διὰ προσευχῆς αὐτομάτως αὐτοῖς δαψιλῆ τροφὴν ἰχθύων παρέσχετο, καὶ πολλοῖς ἐκλιποῦσιν ζωὴν ἐχαρίσατο. οὗτος ἀπολλυμένου τοῦ λαοῦ ὑπὸ τῶν ἐχθρῶν προσῆλθεν τοῖς ἡγουμένοις, καὶ διὰ τεραστίων φοβηθέντες ἐπαύσαντο. τότε ἔλεγεν αὐτοῖς ὅτι διαπεφωνήκαμεν, ἀπώλετο ἡ ἐλπὶς ἡμῶν· καὶ ἐν τέρασι τῶν ὀστέων τῶν νεκρῶν αὐτοὺς ἔπεισεν ὅτι ἔσται ἐλπὶς τῷ Ἰσραήλ, καὶ ἐνταῦθα καὶ ἐπὶ τοῦ μέλλοντος. οὗτος (cod. *οὕτως*) *ἐκεῖ ὢν ἐδείκνυεν τῷ λαῷ Ἰσραὴλ τὰ ἐν Ἱερουσαλ`μ καὶ ἐν τῷ ναῷ γινόμενα. οὗτος ἡρπάγη ἐκεῖθεν εἰς Ἱερουσαλὴμ εἰς ἔλεγχον τῶν ἀπίστων. οὗτος κατὰ τὸν Μωσῆν ἴδε τὸν τύπον τοῦ ναοῦ, οὗ τὸ τεῖχος καὶ τὸ περίτειχος πλατύ, καθὼς εἶπεν Δανιὴλ ὅτι κτισθήσεται. οὗτος ἔκρινεν ἐν Βαβυλῶνι τὴν φυλὴν τοῦ Γάδ, ὅτι ἠσέβουν εἰς κύριον διώκοντες τοὺς τὸν νόμον φυλάσσοντας, καὶ ἐποίησεν τοὺς ὄφεις ἀναλίσκειν τὰ βρέφη καὶ πάντα τὰ κτήνη αὐτῶν, λέγων ὅτι δι' αὐτοὺς οὐκ ἐπιστρέψει ὁ λαὸς εἰς τὴν γῆν αὐτοῦ. ἐξ ὧν καὶ ἀνῃρέθη.*

(*Γ. Ἰεζεκιήλ ἐστιν ἐκ γῆς Σαριρά, ἐκ τῶν ἱερέων· καὶ ἀπέθανεν ἐν γῇ Χαλδαίων ἐπὶ τῆς αἰχμαλωσίας, πολλὰ προφητεύσας τοῖς ἐν τῇ Ἰουδαίᾳ. ἀπέκτεινε δὲ αὐτὸν ὁ ἡγούμενος τοῦ λαοῦ Ἰσραὴλ ἐκεῖ, ἐλεγχόμενος ὑπ' αὐτοῦ ἐπὶ εἰδώλων σεβάσμασι· καὶ ἔθαψαν αὐτὸν ὁ λαὸς ἐν ἀγρῷ Μαοὺρ ἐν τῷ τάφῳ Σὴμ καὶ Ἀρφαξὰδ πατέρων Ἀβραάμ. καὶ ἔστιν ὁ τάφος σπήλαιον διπλοῦν, ὅτι καὶ Ἀβραάμ ἐν Χεβρὼν πρὸς τὴν -- λέγεται ὅτι ἑλικτόν ἐστι καὶ ἀπόκρυφον ἐξ ἐπιπέδου ἐν ὑπερῴῳ· καὶ ἔστιν ἐπὶ γῆς ἐν πέτρᾳ κρεμάμενον.*

Οὗτος ὁ προφήτης τέρας ἔδωκε τῷ λαῷ ὥστε προσέχειν τῷ ποταμῷ Χοβάρ· ὅτε (cod. *ὅτι*) *ἐκλείπει, ἐπελθεῖν τὸ δρέπανον τῆς ἐρημώσεως εἰς πέρας* (cod. *τέρας*) *τῆς γῆς, καὶ ὅτε πλημμυρίσει, τὴν εἰς Ἱερουσαλὴμ ἐπάνοδον. καὶ γὰρ -- πρὸς αὐτὸν συνήγοντο. καί ποτε πλήθους συνόντος αὐτῷ ἔδεισαν οἱ Χαλδαῖοι τοὺς Ἑβραίους μὴ ἀντάρωσι· καὶ ἐποίησεν ὁ προφήτης διαστῆναι τὸ ὕδωρ, ἵνα ἐκφύγωσιν εἰς τὸ πέραν γενόμενοι· οἱ δὲ τολμήσαντες τῶν ἐχθρῶν* (corr. est *τὸν ἐχθρὸν*) *καταδιῶξαι κατεποντίσθησαν. οὗτος διὰ προσευχῆς αὐτομάτως αὐτοῖς δαψιλῆ τροφὴν ἰχθύων παρέσχε, καὶ πολλῶν ἐκλιπόντων ζωὴν ἐλθεῖν ἐκ θεοῦ παρεκάλεσεν. οὗτος ἀπολλυμένου τοῦ λαοῦ ὑπὸ τῶν ἐχθρῶν προσῆλθεν τοῖς ἡγουμένοις, καὶ σημεῖα ποιήσας ἔθραυσε τοὺς πολεμίους, καταπλήξας αὐτοὺς οὐρανόθεν. τότε γὰρ ἔλεγεν ὁ Ἰσραὴλ ὅτι διαπεφωνήκαμεν, ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν· καὶ ἐν τέρασι τῶν ὀστέων τῶν νεκρῶν αὐτοὺς ἔπεισεν ὅτι ἔστιν ἐλπὶς τῷ Ἰσραήλ, καὶ ὧδε [καὶ] ἐπὶ τοῦ μέλλοντος. οὗτος ἐκεῖ ὢν ἐδείκνυεν τῷ λαῷ Ἰσραὴλ τὰ ἐν Ἱερουσαλὴμ καὶ ἐν τῷ ναῷ γενόμενα. οὗτος ἡρπάγη ἐκεῖθεν καὶ ἦλθεν εἰς Ἱερουσαλὴμ κατ' αὐτὴν τὴν ὥραν εἰς ἔλεγχον τῶν ἀπειθούντων θεῷ. οὗτος κατὰ τὸν Μωυσῆν εἶδε τὸν τύπον τοῦ ναοῦ καὶ τὸ τεῖχος καὶ τὸ περίτειχος καὶ τὴν πύλην ἐν ᾗ κύριος εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ ἔσται ἡ πύλη κεκλεισμένη. οὗτος ἔκρινεν ἐν Βαβυλῶνι τὴν φυλὴν Δὰν καὶ τοῦ*

Γάδ, ὅτι ἠσέβουν εἰς κύριον διώκοντες - - ἐποίησεν αὐτοῖς τέρας μέγα, ὅτι οἱ ὄφεις ἀνήλισκον τὰ βρέφη αὐτῶν διὰ τὴν ἀσέβειαν αὐτῶν. καὶ προείρηκεν ὅτι δι' αὐτοὺς οὐκ ἐπιστρέψει ὁ λαὸς εἰς τὴν γῆν αὐτοῦ, ἀλλ' ἐν Μηδείᾳ ἔσονται ἕως συντελείας πλάνης αὐτῶν. καὶ ἐξ αὐτῶν ἦν ὁ ἀνελὼν αὐτόν· ἀντέκειτο γὰρ αὐτῷ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.)

ΙϚ. Δανιὴλ[1]) *ἦν ἐν* (cod. *ἐκ*) *Βεθόρων* (sic) *τῇ ἀνωτέρᾳ φυλῆς Ἰούδα - - καὶ ὑπὲρ τοῦ Ναβουχοδονόσορ πολλὰ ηὔξατο παρακ. αὐτ. Βαλτ. τοῦ υἱοῦ αὐτοῦ, ὅτε γέγονεν - - κτῆνος δὲ ὅτι ὑποζύγιον ἦν τοῦ Βελίαρ. κ. ὑπ. καὶ ὡς μὲν βοῦς ἤσθιεν χόρτον - - φύσεως τρυφή - - καὶ νοῶν εὐθέως ἐδάκρυσεν, καὶ παρεκάλει - - οἱ δὲ ὀφθ. αὐτοῦ γεγόνασιν - - ἑπτὰ μῆνας. καὶ τὸ μυστήριον τῶν ἑπτὰ - - ἀνομίας αὐτοῦ· ἀπέδωκεν πάλιν αὐτῷ ὁ θεὸς τὴν βασιλείαν αὐτοῦ. καὶ οὔτε ἄρτον - - ἐξιλεώσασθαι τὸν θεόν. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Βαλτάσαρ - - ἀπεριτμήτων. καὶ τοῖς μετέπειτα δὲ - - μόνος αὐτὸς θεῷ προσηύχετο. τὸ δὲ δεύτερον - - καπνισθήσεται τὸ ἐκ βορρᾶ, τότε ἥξει - - ὅτε δὲ ὡς πυρὶ καίεται, τότε τὸ τέλος πάσης - - ῥεύσωσιν ὕδατα - - γῆν αὐτῶν· ἐὰν δὲ αἷμα ῥεύσωσιν - - τῇ γῇ.*

(Δ. Δανιήλ· οὗτος μὲν ἦν ἐκ φυλῆς Ἰούδα τῶν ἐξεχόντων τῆς βασιλικῆς ὑπηρεσίας. ἀλλ' ἔτι νήπιος ὢν ἤχθη ἐν τῇ αἰχμαλωσίᾳ ἀπὸ τῆς Ἰουδαίας εἰς γῆν Χαλδαίων. ἐγεννήθη δὲ ἐν Βεθωρῶν τῇ ἀνωτέρᾳ, καὶ ἦν ἀνὴρ σώφρων, ὥστε θαυμάζειν τοὺς Ἰουδαίους πιστεύοντας εἰς αὐτὸν εἶναι σπάδοντα. οὗτος πολλὰ ἐπένθησεν ἐπὶ τὸν λαὸν καὶ τὴν πόλιν Ἱερουσαλήμ, καὶ ἐν νηστείαις ἤσκησεν· ἀπὸ πάσης βρώσεως ἐπιθυμητῆς, σπέρματα γῆς ἐσθίων· καὶ ἦν ἀνὴρ ξηρὸς μὲν καὶ σπανὸς τὴν εἰδέαν, ἀλλ' ὡραῖος ἐν χάριτι ὑψίστου. οὗτος πολλὰ ηὔξατο ὑπὲρ τοῦ Ναβ. παρακαλοῦντος - - ὅτε ἐγένετο ὡς θηρίον καὶ κτῆνος - - ἐμπρόσθια ὡς βοός, ἔχων τὸ σχῆμα καὶ κεφαλήν, καὶ οἱ πόδες σὺν τοῖς ὀπισθίοις λέοντος. καὶ ἀπεκαλύφθη τῷ ὁσίῳ περὶ αὐτοῦ τὸ μυστήριον τοῦτο, ὅτι κτῆνος γέγονε διὰ τὴν ἄλογον αὐτοῦ φιληδονίαν καὶ σκληροτραχηλίαν· καὶ ὅτι ὡς βοῦς ὑποζύγιον γέγονε τῷ Βελίαρ, λέων δὲ διὰ τὸ ἁρπακτικὸν καὶ τυραννικον καὶ θηριῶδες τοῦ τρόπου αὐτοῦ. ταῦτα γὰρ ἔχουσιν οἱ δυνάσται ἐν νεότητι, τουτέστι τὸ κτηνῶδες· ἐν ὑστέρῳ δὲ θῆρες γίνονται, ἁρπάζοντες, ὀλοθρεύοντες, ἀναιροῦντες, τυραννοῦντες, ἀσεβοῦντες, πατάσσοντες· τὰς δὲ τούτων ἀμοιβὰς παρὰ τοῦ δικαίου κριτοῦ θεοῦ ἀπολαμβάνοντες. ἔγνω οὖν διὰ τοῦ θεοῦ ὁ ὅσιος, ὅτι ὡς βοῦς ἤσθιε χόρτον καὶ ἐγένετο αὐτῷ ἀνθρωπίνης (*ἀνανθρωπ.*?) *φύσεως τροφὴ ὁ χόρτος. διὰ τοῦτο καὶ ὁ Ναβ. μετὰ τὴν πέψιν τῆς τροφῆς ἐν καρδίᾳ ἀνθρώπου γενόμενος ἔκλαιε καὶ ἠξίου κύριον νύκτα καὶ ἡμέραν τεσσαρακοντάκις δεόμενος. ὡς δὲ ἐπεγένετο αὐτῷ, καὶ ἐλάνθανεν ὅτι γέγονεν ἄνθρωπος, ἤργει ἡ γλῶσσα αὐτοῦ τοῦ λαλεῖν, καὶ νοῶν εὐθέως ἐδάκρυεν· οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ἦσαν ὡς νεκρὸν κρέας ἐκ τοῦ κλαίειν. πολλοὶ γὰρ ἐξιόντες ἐκ τῆς πόλεως ἐθεώρουν αὐτόν· ὁ δὲ Δανιὴλ μόνος οὐκ ἤθελεν αὐτὸν ἰδεῖν, ὅτι πάντα τὸν χρόνον τῆς ἀλλοιώσεως αὐτοῦ ἐν προσευχῇ ἦν ὑπὲρ αὐτοῦ. ἔλεγε γὰρ ὅτι πάλιν ἄνθρωπος γενήσεται, καὶ τότε ὄψομαι αὐτόν· καὶ ἠπίστουν αὐτῷ. ὁ Δανιὴλ οὖν τὰ ἑπτὰ ἔτη, ἃ εἶπεν ἑπτὰ καιρούς, προσευχόμενος πρὸς τὸν ὕψιστον ἐποίησεν ἑπτὰ μῆνας γενέσθαι. καὶ τὸ μυστήριον τῶν ἑπτὰ καιρῶν ἐτελέσθη ἐπ' αὐτῷ, καὶ ἀποκατέστη ἐν ἑπτὰ μησί*[2])*· τὰ δὲ λοιπὰ ἓξ ἔτη καὶ ε' μῆνας ὑπέπιπτε τῷ θεῷ καὶ ὡμολόγει τὴν ἀσέβειαν αὐτοῦ*

[1]) Haec recensio tantopere convenit cum textu eo quem Petavius appendicis loco tom. II. pag. 243. ex Augustano codice edidit, ut ea tantum ex Coisliniano codice exscribam quae ab illo differunt. Differunt autem pleraque sic ut editis praestare clarum sit.

[2]) Ita restituenda est vitiosissima scriptura a Petavio edita: *ὅτι ἀποκατέστησεν ἑπτὰ μεσίτης. ἓξ οὖν ἔτη καὶ ἓξ μῆνας* etc.

καὶ πᾶσαν τὴν ἀνομίαν αὐτοῦ. καὶ μετὰ τὴν ἄφεσιν τῆς ἀνομίας αὐτοῦ ἀπέδωκεν αὐτῷ ὁ θεὸς τὴν βασιλείαν αὐτοῦ· καὶ οὔτε ἄρτον οὔτε κρέας ἔφαγεν οὔτε οἶνον ἔπιεν, ἐξομολογούμενος τῷ κυρίῳ ὅτι Δαν. προσέτ. ἐν ὀσπρίοις βρεκτοῖς καὶ χλόαις ἐξιλ. κύριον. διὰ τοῦτο - - ἀλλ' ὁ νέος οὐκ ἠθέλησεν, εἰπών Ἴλεώς μοι ἀφεῖναι (cod. *ἀφῆναι*) *με κληρονομίαν πατέρων καὶ κολληθῆναί με κλης. ἀπερ. καὶ τοῖς ἄλλοις δὲ βασιλεῦσι Περσῶν ἐποίησε τεράστια, ὅσα γραφῇ οὐ παρεδόθη. καὶ ἀπέθανεν ἐκεῖ, καὶ ἐτάφη ἐν τῷ σπηλαίῳ τῷ βασιλικῷ μόνος ἐνδόξως. καὶ αὐτὸς ἔδωκε τέρας ἐν - - Βαβυλῶνος, ὅτι ὅτε καπνισθήσεται τὸ ἐκ βορρᾶ, τότε ἥξει τὸ τέλος τ. Βαβ.· ὅταν δὲ ὡς πῦρ καίηται, τότε - - ἐν τῷ νότῳ ῥεύσῃ ὕδατα, ἐπιστρέψει ὁ λαὸς - - αἷμα ῥεύσῃ, φόνος ἔσται τοῦ Βελίαρ ἐν πάσῃ τῇ γῇ. καὶ ἐκοιμήθη ἐκεῖ ὁ ὅσιος ἐν εἰρήνῃ.*

Α.[1]) *Νάθαν προφήτης ἦν τοῦ Δαυὶδ ἐκ Γαβαῶν, καὶ αὐτὸς ἦν ὁ διδάξας αὐτὸν νόμον κυρίου. καὶ εἶδεν ὅτι Δαυὶδ ἐν τῇ Βηρσαβεὲ παραβήσεται, καὶ ἔσπευσε τοῦ ἐλθεῖν πρὸς αὐτὸν καὶ ἀναγγεῖλαι αὐτῷ· ἐνεπόδισε δὲ ὁ Βελίαρ, ὅτι κατὰ τὴν ὁδὸν εὗρε νεκρὸν κείμενον γυμνὸν ἐσφαγμένον, καὶ ἐπέμεινεν ἐκεῖ. καὶ ὅτε ἔγνω ὅτι ἐποίησε τὴν ἁμαρτίαν ὁ Δαυίδ, ὑπέστρεψε πενθῶν· καὶ ὡς ἀνεῖλε τὸν ἄνδρα Βηρσαβεέ, ἔπεμψε κύριος ἐλέγξαι αὐτόν. καὶ αὐτὸς πάνυ γηράσας* (cod. *πάνη γυρίσας*) *ἀπέθανε, καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ.*

Β. Ἀχιὰ ἦν ἀπὸ Σηλώμ, ὅπου ἦν ἡ σκηνὴ τὸ παλαιόν, ἐκ πόλεως Ἠλεί. οὗτος εἶπεν περὶ Σολομῶνος ὅτι προσκρούσει τῷ κυρίῳ· καὶ οὗτος ἤλεγξε τὸν Ἱεροβοάμ, ὅτι δόλῳ πορεύσεται μετὰ κυρίου. καὶ εἶδεν ζεῦγος βοῶν πατοῦν τὸν λαὸν καὶ κατὰ τῶν ἱερέων ἐπιτρέχον· προεῖπεν δὲ καὶ τῷ Σολομῶντι ὅτι αἱ γυναῖκες αὐτὸν ἐξαπατήσουσι καὶ πᾶν τὸ γένος αὐτοῦ. καὶ ἀπέθανε, καὶ ἐτάφη σύνεγγυς τῆς δρυὸς Σηλώμ.

Γ. Ἰωὰβ ἦν ἐκ γῆς Σαμαρείας, ὅντινα ἐπάταξεν ὁ λέων καὶ ἀπέθανεν, ὅτε ἤλεγξε τὸν Ἱεροβοὰμ ἐπὶ ταῖς δαμάλεσι· καὶ ἐτάφη ἐν Βεθὴλ σύνεγγυς τοῦ ψευδοπροφήτου τοῦ πλανήσαντος αὐτόν.

Δ. Ἀζαρίας ἦν ἐκ γῆς Συβαθά, ὃς ἀπέστρεψεν εἰς Ἱερουσαλὴμ τὴν αἰχμαλωσίαν Ἰούδα· καὶ θανὼν ἐτάφη ἐν ἀγρῷ αὐτοῦ.

Ε.[2]) *Ἠλίας* (*Ἠλίας δὲ*) *ὁ Θεσβίτης ἦν ἐκ γῆς Ἀράβων, φυλῆς Ἀαρών, οἰκῶν ἐν Γαλαάδ, ὅτι ἡ Θέσβις δόμα ἦν τοῖς ἱερεῦσι. καὶ* (*ἱερεῦσιν· ὅτε δὲ ἔμελλ. τίκτεσθαι*) *ὅτε ἔμελλε τεχθῆναι, Σοβὰχ ὁ πατὴρ αὐτοῦ* (*ἴδεν Συχαβὰ ἡ μήτηρ αὐτοῦ*) *εἶδεν ὅτι ἄνδρες λευκοφανεῖς αὐτὸν προσηγόρευον, καὶ ὅτι ἐν πυρὶ ἐσπαργάνουν αὐτόν* (*καὶ ἐν τῷ πυρὶ αὐτ. ἐσπαργ.*), *καὶ φλόγα πυρὸς ἐδίδουν αὐτῷ φαγεῖν. καὶ ἐλθὼν* (*ὁ πατὴρ αὐτοῦ Ἀσὼμ*) *ἀνήγγειλεν ἐν Ἱερουσαλήμ, καὶ εἶπεν αὐτῷ ὁ χρησμός Μὴ δειλία* (*ὁ χρ. Θάρσει*)· *ἔσται γὰρ ἡ οἴκησις αὐτοῦ φῶς, καὶ ὁ λόγος αὐτοῦ ἀπόφασις, καὶ κρινεῖ τὸν Ἰσραὴλ ἐν ῥομφαίᾳ καὶ πυρί.* (Addita habet eadem prorsus cum cod. Augustano Petavii: *καὶ γὰρ ζηλωτὴς καὶ φύλαξ - - καὶ χαρισμάτων* (sic emendanda est scriptura Aug. cod. *χρισμ.*) *θείων - - ὁ δὲ τούτου φοιτητὸς* (cod. *φυτ.*) *Ἐλισσαῖος ἦν ἐξ* etc. nulla distinctione facta.)

ς. Ἐλισσαῖος ἦν ἐξ Ἀβελμαούλ (*Ἀμελμουήλ*), *γῆς τοῦ Ῥουβίμ* (add. *φυλῆς Λευί, υἱὸς Ἰωσαφάτ.*) *ἐπὶ τούτου γέγονεν τέρας, ὅτι ἡνίκα* (*καὶ οὗτος δὲ ἡνίκα*) *ἐτέχθη* ***ἐν Γαλγάλοις***, *ἡ δάμαλις ἡ χρυσῆ* (*ἡ χρ.*

[1]) Hunc in modum solus pergit cod. Coisl. 224. Alter post Danielem duas tantum vitas habet, Eliae et Elissaei. Vide infra sub *E* et *ς*. Ceterum numeri vitarum in Coisl. 224., ut edidimus, rursus ad *A. B.* etc. redeunt.

[2]) Vitas Eliae et Elissaei alter quoque codicum Coislinianorum continet; qui quibus differret, additamentis ipsi textui immixtis significavimus.

δάμ.) ὀξὺ ἐβόησεν, ὥστε ἀκουσθῆναι ἐν Ἱερουσαλήμ. καὶ εἶπεν ὁ ἱερεὺς διὰ τῶν δήλων, ὅτι προφήτης ἐτέχθη ἐν Ἰσραήλ, ὃς καθελεῖ τὰ γλυπτὰ αὐτῶν καὶ τὰ χωνευτὰ αὐτῶν. καὶ θανὼν ἐτάφη ἐν Σαμαρείᾳ. (χωνευτά. καὶ γὰρ ἐπαναπαυσάμενον ἐπ' αὐτὸν τὸ πν. διπλοῦν γέγονεν ἐν αὐτῷ διπλᾶ ἐν πνεύματι καὶ τὰ χαρισματα καὶ τὰ ἐνεργήματα· ὅθεν οὐ μόνον ἐν τῇ ζωῇ αὐτοῦ ἐθαυματούργει, ἀλλὰ καὶ θανὼν καὶ ταφεὶς ἐν Σαμαρίᾳ, ἐρρίφη νεκρὸς μονόζωος ἐν τῷ τάφῳ αὐτοῦ, καὶ εὐθὺς ἀνέζησεν ὁ νεκρός.[1])

Ζ. Ζαχαρίας ἦν ἐξ Ἱερουσαλήμ, υἱὸς Ἰωδαὲ τοῦ ἱερέως. ὃν ἀπέκτεινεν Ἰωὰς ὁ βασιλεὺς Ἰούδα ἐχόμενα τοῦ θυσιαστηρίου, καὶ ἐξέχεεν τὸ αἷμα αὐτοῦ ὁ οἶκος Δαυὶδ ἀνὰ μέσον τοῦ Ἐλάμ. καὶ λαβόντες αὐτὸν οἱ ἱερεῖς ἔθαψαν αὐτὸν μετὰ τοῦ πατρὸς αὐτοῦ. ἔκτοτε ἐγένετο τέρατα φαντασίας ἐν τῷ ναῷ, καὶ οὐκ ἴσχυον οἱ ἱερεῖς ἰδεῖν ὀπτασίαν ἀγγέλων θεοῦ οὔτε δοῦναι χρησμοὺς ἐκ τοῦ Δαβὴρ οὔτε ἐρωτῆσαι ἐν τῷ Ἐφοὺδ οὔτε διὰ δήλων ἀποκριθῆναι τῷ λαῷ ὡς τὸ πρίν.[2])

Η[3]). Ἄνθρωπος τοῦ θεοῦ ὁ ἐλθὼν ἐκ γῆς Ἰούδα εἰς Ἱερουσαλὴμ πρὸς Ἱεροβοὰμ Ἰαδὼκ ἐκαλεῖτο. οὗτος προεφήτευσε περὶ Ἰωσία τοῦ βασιλέως Ἰούδα, ὅτι τὰ ὀστᾶ τῶν ἱερέων (cod. -ρῶν) τοῦ Βάαλ (cod. βάλ) κατακαύσει ἐπὶ τοῦ θυσιαστηρίου, ἔνθα Ἱεροβοὰμ ἔθυεν τῇ Βάαλ. καὶ προφητεύοντος αὐτοῦ ἐξέτεινεν ὁ βασιλεὺς τὴν χεῖρα αὐτοῦ συλλαβεῖν αὐτόν, καὶ ἐξηράνθη ἡ χεὶρ τοῦ βασιλέως παραυτίκα.

Θ. Καὶ ἄλλοι δὲ προφῆται ἐγένοντο κρυπτοί, ὧν τὰ ὀνόματα ἐκφέρονται ἐν ταῖς γενεαλογίαις αὐτῶν, ἐπὶ βίβλων ὀνομάτων Ἰσραήλ· ἐγράφοντο γὰρ πᾶν γένος Ἰσραὴλ καὶ τὰ ὀνόματα τῶν προφητῶν καὶ ὁσίων ἀνδρῶν, καὶ ὁ θάνατος αὐτῶν καὶ τὰ ἀξιώματα αὐτῶν, καὶ πότε ἀπέθνησκον· καὶ ἦν εἰς μνημόσυνον τῶν ἱερέων καὶ βασιλέων καὶ προφητῶν καὶ τῶν μεγιστάνων καὶ ὁσίων ἀνδρῶν.

Ι. Σίμων ὁ υἱὸς τοῦ Κλωπᾶ, ὁ ἀνεψιὸς τοῦ κυρίου, συκοφαντηθεὶς ὑπὸ τῶν αἱρέσεων κατηγορήθη ἐπὶ Ἀττικοῦ ὑπατικοῦ. καὶ ἐπὶ πολλὰς ἡμέρας αἰκιζόμενος ἐμαρτύρησεν, ὡς πάντας ὑπερθαυμάσαι καὶ τὸν ὑπατικόν, πῶς ρκ' ἐτῶν τυγχάνων ὑπέμεινε τὰς αἰκίας· καὶ ἐκέλευσεν αὐτὸν σταυρωθῆναι.

Καὶ ταῦτα μὲν μέχρι τούτων. παρακαλῶ δὲ τοὺς ἐντυγχάνοντας τῷδε τῷ πονήματι ἤγουν τῷ ἱστορικῷ διηγήματι, εὐχὰς ἡμῖν ἀντιδοῦναι τοῦ κόπου· νομίζω γὰρ οὐ μικρὰν τυγχάνειν τὴν ἐκ τούτων ὠφέλειαν, τὸ μὴ ἀγνοεῖν τὴν τῶν ἁγίων τούτων πολιτείαν τε καὶ τελείωσιν, ὅτι μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ διότι ἡ πρὸς τοὺς ἀγαθοὺς τῶν ὁμοδούλων τιμὴ ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν δεσπότην εὐνοίας.

VII.

Huic suppositicio Epiphanii libello ea adiungam quae in eodem cod. Coislin. nr. 224. fol. 14. leguntur de adamante gemma summi Hebraeorum pontificis: ista sunt enim et ipsa in Epiphanii scriptis iisque genuinis a Petavio edita ad calcem libelli de XII gemmis. Vide tom. II. p. 230 sq. Exscribam autem e cod. Coisl. tantum ea quae ab edito textu aliquo modo differunt.

Ὁ λίθος ὁ ἀδάμας ἐμφερής ἐστιν τῷ ἀέρι. ὃν ἐφόρει ὁ ἀρχιερεὺς ὅτε - - τοῦ πάσχα καὶ τῇ ν· καὶ τῇ σκηνοπηγίᾳ - - τὴν ἐπωμίδα. ἤρχετο δὲ ἡ ἐπωμὶς κατώτερον - - καὶ ἡμίσεως τὸ - - ἐπάνωθεν τῶν μαζῶν ἐν

[1]) His exit libellus in codice Coisl. 120. Quae sequuntur vitae, ex altero solo haustae sunt.

[2]) Cf. haec extrema cum extremis vitae Zachariae pag 113.

[3]) Quae iam sequuntur usque finem, ea in editione Petavii non habentur. Eorum loco ibi leguntur tria alia brevissime concepta: ὁ βίος τοῦ Συμεών, ὁ βίος Ἰωάννου τοῦ βαπτιστοῦ, ἐπίλογος.

